Ακαδημία Αθηνών / Academy of Athens

Γδ

1054

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΑΝΔΡΕΟΥ Ζ. ΚΟΚΚΙΝΑΚΗ
Νομαρχιακοῦ Ἐπιθεωρητοῦ τῶν Δημοτικῶν σχολείων Ἡρακλείου

# ΕΛΛΗΝΙΚΟΝ
# ΜΕΘΟΔΙΚΟΝ ΑΛΦΑΒΗΤΑΡΙΟΝ

ΕΓΚΡΙΘΕΝ
ΕΠΙ ΔΕΥΤΕΡΑΝ ΠΕΝΤΑΕΤΙΑΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

CHB

# ΓΝΩΜΟΛΟΓΙΚΟΝ

## ΠΕΡΙΕΧΟΝ ΤΑ ΚΑΤΑ ΑΛΦΑΒΗΤΟΝ

# ΓΝΩΜΙΚΑ ΜΟΝΟΣΤΙΧΑ

ΤΟΥ

# ΧΡΥΣΟΛΩΡΑ

Ἔτι δὲ συντόμους Ἐπιστολὰς διαφόρων Παλαιῶν Συγγραφέων, καὶ Ἀποφθέγματα τῶν ἑπτὰ Σοφῶν τῆς Ἑλλάδος καὶ ἄλλων **Φιλοσόφων**.

Διορθωθὲν, αὐξηθὲν, καὶ ἔκ τινων Στίχων ἀναρμόστων ἢ μᾶλλον ἐπιβλαβῶν τοῖς μαθητευομένοις νέοις ἐκκαθαρθέν.

ΕΝ ΒΕΝΕΤΙᾼ
Ἐκ τῆς Ἑλληνικῆς Τυπογραφίας
ΤΟΥ ΦΟΙΝΙΚΟΣ
1843

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ
Αρ. 2499

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

Ἐμμανουὴλ Χρυσολωρᾶς, ὁ ἐκ Κωνσταντινουπόλεως, ἐχρημάτισεν ἀνὴρ πεπαιδευμένος τοῦ ΙΕ'. Αἰῶνος. Ἦλθεν εἰς Εὐρώπην διὰ νὰ ἐπικαλεσθῇ τὴν συμμαχίαν τῶν Χριστιανῶν Ἡγεμόνων κατὰ τῶν Τούρκων. Πρῶτος ἐδίδαξε τὴν ἑλληνικὴν γλῶσσαν ἐν Φλωρεντίᾳ, ἐν Βενετίᾳ, ἐν Παυΐᾳ, καὶ ἐν Ῥώμῃ, καὶ ἀπέθανεν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

τῷ τεσσαρακοστῷ ἑβδόμῳ ἔτει τῆς αὑτοῦ ἡλικίας ἐν Κωνσταντίᾳ, τῇ 15 Ἀπριλίου, 1415, ὅταν ἐτελεῖτο ἐκεῖ ἡ ἱερὰ Σύνοδος

Κατέλιπε μίαν Γραμματικὴν, τὰ παρόντα Γνωμικὰ ἐκ διαφόρων Ποιητῶν, καὶ ἕτερά τινα συγγραμμάτια. Διαφέρει οὗτος ἀπὸ τὸν Δημήτριον Χρυσολωρᾶν, ὅς τις ἔζη ἐπὶ τῆς βασιλείας Ἐμμανουὴλ τοῦ Παλαιολόγου, καθὼς καὶ ἀπὸ τὸν Ἰωάννην Χρυσολωρᾶν, τὸν αὐτοῦ συγγενῆ καὶ μαθητήν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## ΓΝΩΜΑΙ

# ΜΟΝΟΣΤΙΧΟΙ

## ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ

Ἐκ διαφόρων Ποιητῶν.

## ΕΙΣ ΑΓΑΘΟΥΣ ΑΝΔΡΑΣ.

Ζήλου τὸν ἐσθλὸν ἄνδρα, καὶ τὸν σώφρονα.
Ἐσθλῷ γὰρ ἀνδρὶ, ἐσθλὰ καὶ διδοῖ Θεός.
Ἀνὴρ δὲ χρηστὸς, χρηστὸν οὐ μισεῖ ποτέ.
Γνώμης γὰρ ἐσθλῆς, ἔργα χρηστὰ γίγνεται:
Ἤθους δὲ βάσανός ἐστιν ἀνθρώποις χρόνος.

## ΕΙΣ ΑΛΗΘΕΙΑΝ.

Ἡ γλῶσσ' ἁμαρτάνουσα, τ' ἀληθῆ λέγει.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

## ΕΙΣ ΑΜΑΡΤΙΑΝ.

Αἰσχρὸν δὲ μηδὲν πράττε, μηδὲ μάνθανε.
Δὶς ἐξαμαρτεῖν ταὐτὸν, οὐκ ἀνδρὸς σοφοῦ.
Ἔργων πονηρῶν, χεῖρ' ἐλευθέραν ἔχε.
Ὁ μηδὲν εἰδὼς, οὐδὲν ἐξαμαρτάνει.

## ΕΙΣ ΑΝΑΓΚΗΝ.

Ὑπὸ τῆς ἀνάγκης πάντα δουλοῦται ταχύ.
Ὑπὸ τῆς ἀνάγκης πολλὰ ποιοῦμεν κακά.

## ΕΙΣ ΑΡΕΤΗΝ.

Ἀνάπαυσίς ἐστι τῶν κακῶν ἀπραξία.
Ἃ μὴ προσήκει, μήτ' ἄκουε, μήθ' ὅρα.
Βέλτιόν ἐστι σῶμά γ' ἢ ψυχὴν νοσεῖν.
Εὔτακτον εἶναι, τὰ ἀλλότρια δειπνοῦντα δεῖ.
Ἐλευθέρου γὰρ ἀνδρὸς, τ' ἀληθῆ λέγειν.
Ἐλεύθερον φύλασσε τὸν σαυτοῦ τρόπον.
Καλὸν φύουσι καρπὸν οἱ σεμνοὶ τρόποι.
Καρπὸς ἀγαθὸς δ' ἐστιν, εὔτακτος βίος.
Λάβε πρόνοιαν τοῦ προσήκοντος βίου.
Μακάριος, ὅς τις μακαρίοις ὑπηρετεῖ.
Ὅπλον μέγιστόν ἐστιν ἡ ἀρετὴ βροτοῖς.
Σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ταμεῖον ἀρετῆς ἐστι σωφροσύνη μόνη.
Ψυχῆς ἐπιμελοῦ τῆς σεαυτοῦ, καθὰ δύνῃ.

## ΕΙΣ ΑΧΑΡΙΣΤΙΑΝ.

Ἀχάριστος, ὅς τις εὐπαθῶν ἀμνημονεῖ.
Ἅμ' ἠλέηται, καὶ τέθνηκεν ἡ χάρις.
Ἐπιλανθάνονται πάντες οἱ παθόντες εὖ.
Καλὸν δὲ θησαύρισμα κειμένη χάρις.
Μετὰ τὴν δόσιν, τάχιστα γηράσκει χάρις.
Χάριν λαβὼν εὔκαιρον, ἐν καιρῷ δίδου.
Χάριν χαρίζου· καθ' ὅσον ἰσχύεις ὅμως.
Χάριτας δικαίας, καὶ δίδου, καὶ λάμβανε.
Χάριν λαβὼν, μέμνησο· καὶ δοὺς, ἐπιλάθου.

## ΕΙΣ ΒΑΣΙΛΕΑ.

Ἀρχῆς τετευχὼς, ἴσθι ταύτης ἄξιος.
Εἰκὼν δὲ βασιλεὺς ἐστιν ἔμψυχος Θεοῦ.

## ΕΙΣ ΒΙΟΝ.

Ἀμελοῦντα τοῦ ζῆν, οὐκ ἔνεστ' εὐσχημονεῖν.
Βιοῖ μὲν οὐδεὶς, ὃν προαιρεῖται βίον.
Βίος ἐστὶν, ἄντις τῷ βίῳ χαίρῃ βιῶν.
Βίος κέκληται, δ' ὡς βίᾳ πορίζεται.
Βίος βίου δεόμενος οὐκ ἔστι βίος.
Γῆ πάντα τίκτει, καὶ πάλιν κομίζεται.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ᾽ ὡς δυνάμεθα.
Οὐκ ἔστι βίον εὑρεῖν ἄλυπον ἐν οὐδενί.
Τυφλὸν δὲ, καὶ δύστηνον ἀνθρώποις βίος.
Τὸ ζῆν ἀλύπως, ἀνδρός ἐστιν εὐτυχοῦς.
Ὡς ἡδὺς ὁ βίος, ἄν τις αὐτὸν μὴ μάθῃ.

## ΕΙΣ ΒΟΗΘΕΙΑΝ.

Α᾽νὴρ γὰρ ἄνδρα, καὶ πόλις σώζει πόλιν.
Χεὶρ χεῖρα νίπτει, δάκτυλός τε δάκτυλον.

## ΕΙΣ ΒΟΥΛΗΝ.

Α᾽νὴρ ἄβουλος εἰς κενὸν μοχθεῖ τρέχων.
Α᾽βουλία γὰρ πολλὰ βλάπτονται βροτοί.
Α᾽νὴρ ἄβουλος ἡδοναῖς θηρεύεται.
Βουλῆς γὰρ ὀρθῆς οὐδὲν ἀσφαλέστερον.
Βουλὴν δὲ παντὸς πράγματος προλάμβανε.
Ε᾽ν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίγνεται.
Ἱερὸν ἀληθῶς ἐστιν ἡ συμβουλία.
Σύμβουλος ἐσθλὸς, μὴ κακὸς γίγνου φίλοις.
Σοφοῦ παρ᾽ ἀνδρὸς προσδέχου συμβουλίαν.
Σοφὴ σοφῶν γὰρ γίγνεται συμβουλία.
Σύμβουλος ἴσθι τῶν ἀγαθῶν, μὴ τῶν κακῶν.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

## ΕΙΣ ΓΑΜΟΝ.

Ἄλυπον ἕξεις τὸν βίον χωρὶς γάμου.
Γαμεῖν ὁ μέλλων, εἰς μετάνοιαν ἔρχεται.
Γαμεῖν δὲ μέλλων, βλέψον εἰς τοὺς γείτονας.
Ἦθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ.
Νόμιζε γήμας, δοῦλος εἶναι τῷ βίῳ.
Ὁ μὴ γαμῶν ἄνθρωπος, οὐκ ἔχει κακά.
Ῥᾷον βίον ζῇς, ἂν γυναῖκα μὴ τρέφῃς.
Ὡς τρισκακοδαίμων, ὅστις ὢν πένης γαμεῖ.
Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων ὄντως, γυναικὸς προῖκα πολλὴν φερομένης.

## ΕΙΣ ΓΕΛΩΤΑ.

Γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν.
Γελᾷ δ' ὁ μωρὸς, κᾄν τι μὴ γελοῖον ᾖ.

## ΕΙΣ ΓΗΡΑΣ.

Ἅπαντ' ἀφανίζει γῆρας ἰσχὺν σώματος.
Γήρως δὲ φαύλου, τίς γένοιτ' ἀνατροπή;
Γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων.
Ἐφόδιον εἰς γῆρας αἰνεὶ κατατίθου.
Ἥξει τὸ γῆρας, πᾶσαν αἰτίαν φέρον.
Καλὸν τὸ γηρᾷν, καὶ τὸ μὴ γηρᾷν πάλιν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ὁμιλίας δὲ τὰς γεραιτέρας φίλει.
Ὀχληρὸς ἀνὴρ ἐστὶν ἐν νέοις γέρων.
Πολιὰ χρόνου μήνυσις, οὐ φρονήσεως.
Φοβοῦ τὸ γῆρας, οὐ γὰρ ἔρχεται μόνον.
Χαλεπὸν τὸ γῆράς ἐστιν ἀνθρώποις βάρος.

## ΕΙΣ ΓΟΝΕΙΣ.

Βούλου γονεῖς πρὸ παντὸς ἐν τιμαῖς ἔχειν.
Γονεῖς δὲ τίμα, καὶ φίλους εὐεργέτει.
Ἔλπιζε, τιμῶν τοὺς γονεῖς, πράξειν καλῶς.
Θεοὶ μέγιστοι τοῖς φρονοῦσιν οἱ γονεῖς.
Ἱκανῶς βιώσεις, γηροβοσκῶν τοὺς γονεῖς.
Νόμιζε σαυτῷ τοὺς γονεῖς εἶναι Θεούς.
Πρὸς Υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς Πατήρ.
Τοιοῦτος γίνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαις περὶ σεαυτὸν γενέσθαι τοὺς σαυτοῦ παῖδας.

## ΕΙΣ ΓΥΝΑΙΚΑ.

Γυναικὶ πάσῃ, κόσμον ἡ σιγὴ φέρει.
Γυναικὸς ἐσθλῆς ἐστι σώζειν οἰκίαν.
Γυναικὶ κόσμος ὁ τρόπος, κ᾽ οὐ χρυσία.
Γυνὴ δικαία τοῦ βίου σωτηρία.
Γυναικὸς ἐσθλῆς ἐπιτυχεῖν οὐ ῥάδιον.
Γυνὴ τὸ σύνολόν ἐστι δαπανηρὸν φύσει.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Γυναικὶ μὴ πίστευε τὸν σαυτοῦ βίον.
Γυνὴ γὰρ οὐδὲν οἶδε, πλὴν ὃ βούλεται.
Γυνὴ δὲ χρηστὴ πηδάλιόν ἐστ' οἰκίας.
Γυναικὶ δ' ἄρχειν οὐ δίδωσιν ἡ φύσις.
Γυνὴ γὰρ οἴκῳ πῆμα, καὶ σωτηρία.
Γυνὴ γυναικὸς πώποτ' οὐδὲν διαφέρει,
Ἐν γὰρ γυναιξὶ πίστιν οὐκ ἔνεστ' ἰδεῖν.
Ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον.
Ζήτει γυναῖκα σύμμαχον τῶν πραγμάτων.
Θησαυρὸς ἐστὶ τῶν κακῶν κακὴ γυνή.
Ἄνευ ὁμονοίας, οὔτ' ἂν πόλις εὖ πολιτευθείη, οὔτ' οἶκος καλῶς οἰκηθείη.
Γυναικὶ δ' ὄλβος ἂν πόσιν στέργοντ' ἔχῃ.
Κόσμος ὀλιγομυθίη γυναικὶ, καλὸν δὲ και κόσμου λιτότης.
Ἡ αἰδὼ τοῦ κάλλους ἀκρόπολις.
Μεγίστη γίνεται σωτηρία, ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.
Ἱστοὶ γυναικῶν ἔργα, οὐκ ἐκκλησίαι.
Ἰὸς πέφυκεν ἀσπίδος κακὴ γυνή.
Ἴσον λεαίνης, καὶ γυναικὸς ὠμότης.
Καλὸν γυναικὸς εἰσορᾶν καλοὺς τρόπους.
Καλὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνή.
Λύπη παροῦσα πάντοτ' ἐστιν ἡ γυνή.
Μεστὸν κακῶν πέφυκε φορτίον γυνή.
Νύμφη δ' ἄπροικος οὐκ ἔχει παῤῥησίαν.
Πολλοὶ γυναικῶν δυστυχοῦσιν εἵνεκεν.
Τερπνὸν κακὸν πέφυκεν ἀνδράσι γυνή.

Ακαδημία Αθηνών / Academy of Athens

Ὑπερήφανον πρᾶγμ' ἐστὶν ὡραία γυνή.
Ὑπὲρ γυναικὸς, καὶ φίλου πονητέον.
Ὡς ἔστ' ἄπιστον ἡ γυναικεία φύσις.
Οὐ χρὴ τὴν γυναῖκα δεινὴν ἐν τοῖς πολιτικοῖς, ἀλλὰ ἐν τοῖς οἰκονομικοῖς εἶναι.

## ΕΙΣ ΔΗΜΟΝ.

Ἰσχυρὸν ὄχλος ἐστὶν, οὐκ ἔχει δὲ νοῦν.

## ΕΙΣ ΔΙΚΑΙΟΝ.

Ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται.
Ἀνὴρ, δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν,
Ἀλλ' ὅς τις, ἀδικεῖν δυνάμενος, οὐ βούλεται.
Βάδιζε τὴν εὐθεῖαν, ἣν δίκαιος ᾖς.
Βίου δικαίου γίνεται τέλος καλόν.
Δίκαιος ἴσθ' ἵνα καὶ δικαίων δὴ τύχῃς.
Δίκαιος εἶναι μᾶλλον, ἢ χρηστὸς θέλε.
Δίκαια δράσας, συμμάχου τεύξῃ Θεοῦ.
Κρίνειν δίκαιον, μὴ τὸ συμφέρον θέλε.
Πρὸς εὖ λέγοντας οὐδὲν ἀντειπεῖν ἔχω.
Τρόπος δίκαιος, κτῆμα τιμιώτατον.

## ΕΙΣ ΔΟΞΑΝ.

Ζήτει σεαυτῷ δόξαν ἐγκαταλιπεῖν.

Ακαδημία Αθηνών / Academy of Athens

Καλῶς ἀκούειν μᾶλλον, ἢ πλουτεῖν θέλε.
Κενῆς δὲ δόξης οὐδὲν ἀθλιώτερον.

## ΕΙΣ ΔΟΥΛΟΥΣ.

Δούλου δὲ χεῖρον οὐδέν, οὐδὲ τοῦ καλοῦ.
Εἷς ἐστι δοῦλος οἰκίας ὁ δεσπότης.
Λυπεῖ με δοῦλος, δεσπότου μεῖζον φρονῶν.
Ὡς ἡδὺ δούλῳ δεσπότου χρηστοῦ τυχεῖν.

## ΕΙΣ ΔΥΣΤΥΧΙΑΝ.

Δρυὸς πεσούσης, πᾶς ἀνὴρ ξυλεύεται.
Δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς.
Ἐπ' ἀνδρὶ δυστυχοῦντι μὴ πλάσῃς κακόν.
Ἐξ ἡδονῆς γὰρ φύεται τὸ δυστυχεῖν.
Μὴ 'μβενε δυστυχοῦντι· κοινὴ γὰφ τύχη.
Μηδέ ποτε σαυτὸν δυστυχῶν ἀπελπίσῃς.
Νόμιζε κοινὰ πάντα δυστυχήματα.
Οἴμοι! τὸ γὰρ ἄφνω δυστυχεῖν μανίαν ποιεῖ.
Τῶν δυστυχούντων εὐτυχὴς οὐδεὶς φίλος.

## ΕΙΣ ΕΓΚΡΑΤΕΙΑΝ.

Γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν.
Ἡ κοιλία καὶ πολλὰ χωρεῖ κὠλίγα.

Ακαδημία Αθηνών / Academy of Athens

## ΕΙΣ ΕΛΠΙΔΑΣ.

Ἀνὴρ ἀτυχῶν δὲ, σώζεται ταῖς ἐλπίσιν.
Αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν.
Ἔλπιζε πάντα μέχρι γήρως, θνητὸς ὤν.

## ΕΙΣ ΕΠΑΙΝΟΝ.

Ὑπὲρ σαυτοῦ μὴ φράσῃς ἐγκώμια.
Φίλων ἔπαινον μᾶλλον, ἢ σαυτοῦ, λέγε.

## ΕΙΣ ΕΥΓΕΝΗ.

Ἀνὴρ ἄριστος οὐκ ἂν εἴη δυσγενής.

## ΕΙΣ ΕΥΤΥΧΙΑΝ.

Δίκαιον, εὖ πράττοντα μεμνῆσθαι Θεοῦ.
Κατ' ἰδίαν φρόνησιν οὐδεὶς εὐτυχεῖ.
Κοινὸν δὲ καλόν ἐστι χρηστὸς εὐτυχῶν.
Οὐκ ἔστιν ὅς τις πάντ' ἀνὴρ εὐδαιμονεῖ.
Πολλοὶ μὲν εὐτυχοῦσιν, οὐ φρονοῦσι δέ.
Τὸν εὐτυχοῦντα, καὶ φρονεῖν νομίζομεν.
Τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.
Τῶν εὐτυχούντων πάντες εἰσὶ συγγενεῖς.
Ὡς εὐκόλως πίπτουσιν αἱ λαμπραὶ τύχαι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

## ΕΙΣ ΕΥΣΕΒΕΙΑΝ.

Θνητὸς πεφυκὼς, μὴ φρονῆς ὑπέρθεα.
Θεὸν σέβου, καὶ πάντα πράξεις ἐνθέως.
Ὑπὲρ εὐσεβείας καὶ λάλει καὶ μάνθανε.

## ΕΙΣ ΕΥΧΗΝ.

Εὐχῆς δικαίας οὐκ ἀνήκοος Θεός.

## ΕΙΣ ΓΕΡΩΝΤΑ.

Γέρων ἐραστὴς, ἐσχάτη κακὴ τύχη.

## ΕΙΣ ΕΧΘΡΑΝ.

Ἀθάνατον ἔχθραν μὴ φύλαττε, θνητὸς ὤν.
Ἐχθροῖς ἀπιστῶν, οὔ ποτ' ἂν πάθοις βλάβην.
Λόγον παρ' ἐχθροῦ, μὴ ποθ' ἡγήσῃ φίλον.
Ἀγκὰς ἑλεῖν ἔχειν μέλλοντι, ὁ ἐν φρεσὶν ἔχθος τρέφων ὁμοιοῦται.

## ΕΙΣ ΖΩΗΝ.

Ζῆν βουλόμενος, μὴ πράττε θανάτου ἄξια.
Ζῆν αἰσχρὸν, οἷς ζῆν ἐφθόνησεν ἡ τύχη.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Πάντες καλῶς ζῆν ἐθέλομεν, ἀλλ᾽ οὐ δυνάμεθ.
Ὡς ἡδὺ τὸ ζῆν, μὴ φθονούσης τῆς τύχη.

## ΕΙΣ ΗΔΟΝΗΝ.

Ἡ γὰρ παράκαιρος ἡδονὴ τίκτει βλάβην.
Ὡς πολλὰ διὰ τὰς ἡδονὰς λυπούμεθα.

## ΕΙΣ ΘΑΝΑΤΟΝ.

Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται.
Ζωῆς πονηρᾶς θάνατος αἱρετώτερος.
Ἢ ζῆν ἀλύπως, ἢ θανεῖν εὐδαιμόνως.
Θνητὸς πεφυκὼς, μὴ γέλα τεθνηκότα.
Καλὸν τὸ θνήσκειν, οἷς ὕβριν τὸ ζῆν φέρει.
Κρεῖσσον τὸ μὴ ζῆν ἐστιν, ἢ ζῆν ἀθλίως.
Ὃν γὰρ φιλεῖ Θεὸς γ᾽ ἀποθνήσκει νέος.
Οὐ πώποτ᾽ ἐζήλωσα πολυτελῆ νεκρόν.
Τὸ γὰρ θανεῖν οὐκ αἰσχρὸν, ἀλλ᾽ αἰσχρῶς
θανεῖν.

## ΕΙΣ ΘΕΟΝ.

Θεὸς συνεργῶν, πάντα ποιεῖ ῥαδίως.
Θεοῦ θέλοντος, κἂν ἐπὶ ῥιπὸς πλέοις.
Ὁ νοῦς γὰρ ἡμῖν ἐστιν ἐν ἑκάστῳ Θεός.
Πάντη γὰρ ἐστι, πάντα τε βλέπει Θεός.
Τὸ γὰρ τρέφον με, τοῦτ᾽ ἐγὼ κρίνω Θεόν.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## ΕΙΣ ΙΑΤΡΟΥΣ.

Ἰατρὸς ἀδόλεσχος, νοσοῦντι πάλιν νόσος.
Πολλῶν ἰατρῶν εἴσοδος μ' ἀπώλεσεν.

## ΕΙΣ ΚΑΙΡΟΝ.

Ἅπαντα καιρῷ χάριν ἔχει τρυγώμενα.
Καλὸν τὸ καιροῦ παντὸς εἰδέναι μέτρον.
Καιρὸς γάρ ἐστι τῶν νόμων κρείττων πολύ.
Καιροὶ δὲ καταλύουσι τὰς τυραννίδας.
Καιροῦ τυχὼν γὰρ, πτωχὸς ἰσχύει μέγα.
Πολλῶν ὁ καιρὸς γίγνεται παραίτιος.
Πολλοὺς ὁ καιρὸς ἄνδρας οὐκ ὄντας ποιεῖ.
Τάχιστ' ὁ καιρὸς μεταφέρει τὰ πράγματα.
Τὸν καιρὸν εὔχου πάντοθ' ἵλεων ἔχειν.
Ὡς μέγα τὸ μικρόν ἐστιν, ἐν καιρῷ δοθέν.
Ὥρα τὰ πάντα τοῦ βίου κρίνει καλῶς.

## ΕΙΣ ΚΑΛΛΟΣ.

Μὴ κρῖν' ὁρῶν τὸ κάλλος, ἀλλὰ τὸν τρόπον.
Ὡς ἡδὺ κάλλος, ὅταν ἔχῃ νοῦν σώφρονα.

## ΕΙΣ ΚΕΡΔΟΣ.

Βίου πορίζου πάντοθεν, πλὴν ἐκ κακῶν.
Βουλόμεθα πλουτεῖν πάντες, ἀλλ' οὐ δυνάμεθα.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει.
Ζήτει συνάγειν ἐκ δικαίων τὸν βίον.
Ἦθος πονηρὸν φεῦγε, καὶ κέρδος κακόν
Κέρδος πονηρὸν μὴ λαβεῖν βούλου ποτέ.
Κέρδος πονηρὸν ζημίαν ἀεὶ φέρει.
Τὰ μικρὰ κέρδη μείζονας βλάβας φέρει
Τὸ κέρδος ἡγοῦ κέρδος, ἂν δίκαιον ᾖ.
Τὰ δ' αἰσχρὰ κέρδη συμφορὰς ἐργάζεται

## Εἰς Κρίσιν, καὶ εἰς τὴν Θείαν Δίκην.

Κατηγορεῖν οὐκ ἔστι, καὶ κρίνειν ὁμοῦ.
Ἀνεξέταστον μὴ κόλαζε μηδένα.
Ἄγει τὸ Θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην
Ἔστι δίκης ὀφθαλμὸς, ὃς τὰ πάνθ' ὁρᾷ.
Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.
Λήσειν διὰ τέλους μὴ δόκει, πονηρὸς ὤν
Ὀξὺς Θεοῦ δ' ὀφθαλμὸς εἰς τὸ πάνθ' ὁρᾶν.

## ΕΙΣ ΚΡΥΦΙΑ.

Ἀφεὶς τὰ φανερὰ, μὴ δίωκε τ' ἀφανῆ.
Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε
λήσειν.
Ὑπόνοια δεινόν ἐστιν ἀνθρώποις κακόν.

## ΕΙΣ ΛΙΜΟΝ.

Λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ.
Λιμῷ γὰρ οὐδέν ἐστιν ἀντειπεῖν ἔπος.
Πολλῶν ὁ λιμὸς γίγνεται διδάσκαλος.

## ΕΙΣ ΛΟΓΟΝ.

Ἰσχυρότερον δέ γ' οὐδέν ἐστι τοῦ λόγου.
Λόγος γάρ ἐστι λύπης φάρμακον μόνος.
Λόγῳ μ' ἔπεισας, φαρμάκῳ σοφωτάτῳ.
Λόγοις ἀμείβου τὸν λόγοις πείθοντά σε.
Λύπην γὰρ εὔνους οἶδεν ἰᾶσθαι λόγος.
Λόγῳ διοικεῖται βροτῶν βίος μόνῳ.
Μέγιστόν ἐστιν ὀργῆς φάρμακον λόγος.
Ὁ λόγος ἰατρός ἐστι τοῦ κατὰ ψυχὴν πάθους.
Ῥῆμα παρὰ καιρὸν ῥηθὲν, ἀνατρέπει βίον.
Ῥίψας λόγον τὶς, οὐκ ἀναιρεῖται πάλιν.
Ψυχῆς νοσούσης, ἐστὶ φάρμακον λόγος.
Χωρὶς τό τ' εἰπεῖν πολλὰ, καὶ τὰ καίρια.

## ΕΙΣ ΛΥΠΗΝ.

Ἀεὶ τὸ λυποῦν ἐκδίωκε τοῦ βίου.
Ἄρ' ἐστι συγγενές τι λύπη, καὶ βίος.
Βιοῦν ἀλύπως, θνητὸν ὄντ' οὐ ῥάδιον.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Λύπαι γὰρ ἀνθρώποισι τίκτουσι νόσου
Πλοίου λιμὴν μὲν, ἀλυπία δ' ὅρμος β
Οὐκ ἔστι λύπης χεῖρον ἀνθρώποις κακ
Τὸ ζῆν ἀλύπως, ἀνδρός ἐστιν εὐτυχοῦς

## ΕΙΣ ΜΕΘΗΝ.

Καλὸν τὸ νήφειν, ἢ τὸ πολλὰ κραιπαλ
Ὁ πολὺς ἄκρατος μίκρ' ἀναγκάζει φρονε

## ΕΙΣ ΤΟ ΜΕΛΛΟΝ.

Θνητὸς πεφυκὼς, τοὐπίσω πειρῶ βλέπε
Μένει δ' ἕκαστον, τοῦθ' ὅπερ μέλλει παθε
Μή μοι γένοιθ' ἃ βούλομ', ἀλλ' ἃ συμφέρ
Οὐδεὶς τὸ μέλλον ἀσφαλῶς βουλεύεται.

## ΕΙΣ ΜΕΤΑΝΟΙΑΝ.

Ἡ δὲ μετάνοια γίγνετ' ἀνθρώποις κρίσ

## ΕΙΣ ΜΕΤΡΙΟΤΗΤΑ.

Ἄνθρωπον ὄντα σαυτὸν ἀναμίμνησκ' ἀε
Βούλου δ' ἀρέσκειν πᾶσι, μὴ σαυτῷ μόνο
Εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνε
Ἐν δ' εὐπροσηγόροισιν ἔστι τις χάρις.
Ἴσος μὲν ἴσθι πᾶσι, κἂν προὔχῃς βίῳ.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Σωτηρίας σημεῖον ἥμερος τρόπος.
Τὸ γνῶθι σαυτὸν πανταχοῦ ἐστι χρήσιμον.

## ΕΙΣ ΜΗΤΡΥΙΑΝ.

Δεινότερον οὐδὲν ἄλλο μητρυιῆς κακόν.

## ΕΙΣ ΝΕΟΤΗΤΑ.

Ἀκμὴ τὸ σύνολον οὐδὲν ἄνθους διαφέρει.
Μέμνησο νέος ὢν, ὡς γέρων ἔσῃ ποτέ.
Νέος πεφυκὼς, πολλὰ χρηστὰ μάνθανε.
Νέῳ δὲ σιγᾷν μᾶλλον, ἢ λαλεῖν πρέπει.
Νέος ὢν, ἀκούειν τῶν γεραιτέρων θέλε.

## ΕΙΣ ΝΟΜΟΥΣ.

Ἰσχυρὸν ὁ νόμος ἐστὶν, ἣν ἄρχοντ' ἔχῃ.
Νόμῳ τὰ πάντα γίνεται, καὶ κρίνεται.
Νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις καλόν.
Βίας παρούσης, οὐδὲν ἰσχύει νόμος.
Ῥήτωρ πονηρὸς τοὺς νόμους λυμαίνεται.

## ΕΙΣ ΞΕΝΟΥΣ.

Ξένους πένητας μὴ παραδράμῃς ἰδών.
Ξένοις ἐπαρκῶν, τῶν ἴσων τεύξῃ ποτέ.
Ξενίας ἀεὶ φρόντιζε, μὴ καθυστέρει.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ξένοισι πιστοῖς, πιστὸς ὢν γίγνου φιλ
Ξένον ἀδικήσεις μηδέ ποτε, καιρὸν λαβο
Ξένῳ μάλιστα συμφέρει τὸ σωφρονεῖν.
Ξένος ὢν, ἀπράγμων ἴσθι, καὶ πράξ
καλῶς.
Ξένον προτιμᾶν μᾶλλον ἀνθρώποις ἔθ
Ξένον δὲ σιγᾶν κρεῖττον, ἢ κεκραγένα
Ξένος πεφυκὼς, τοὺς ξενοδόχους σέβου
Ξένους ξένιζε· καὶ σὺ γὰρ ξένος γ' ἔσ
Πλάνη βίον τίθησι σωφρονέστερον.

## ΕΙΣ ΟΡΚΟΝ.

Ἀνδρῶν δὲ φαύλων ὅρκον εἰς ὕδωρ γρά
Θεὸν ἐπιορκῶν μὴ δόκει λεληθέναι.
Ὅρκον δὲ φεῦγε, κἂν δικαίως ὀμνύῃς.

## ΕΙΣ ΟΡΓΗΝ.

Ἄνθρωπος ὢν, γίγνωσκε τῆς ὀργῆς κρ
τεῖν.
Γίγνου δ' ἐς ὀργὴν μὴ ταχύς τ', ἀλ
βραδύς.
Βλάπτει τὸν ἄνδρα θυμὸς εἰς ὀργὴν πεσ
Ζήσεις βίον κράτιστον, ἂν θυμοῦ κρατ
Θυμοῦ κρατῆσαι, κἀπιθυμίας, καλόν,
Νίκησον ὀργὴν, τῷ λογίζεσθαι καλῶς.
Ὀργὴ δὲ πολλὰ δρᾶν ἀναγκάζει κακά

Οὐδεὶς μετ᾽ ὀργῆς ἀσφαλῶς βουλεύεται.
Ὀργὴ φιλούντων μικρὸν ἰσχύει χρόνον.
Ὀργὴν ἑταίρου, καὶ φίλου πειρῶ φέρειν.
Φεύγειν ἀεὶ δεῖ δεσπότας θυμουμένους.

## ΕΙΣ ΠΑΙΔΑΣ.

Αὐθαίρετος λύπη ἐστὶν ἡ τέκνων σπορά.
Μακάριόν ἐστιν, Υἱὸν εὔτακτον τρέφειν.
Μακάριος, ὅς τις εὐτύχησεν εἰς τέκνα.
Στύλος γὰρ οἴκου παῖδες εἰσιν ἄῤῥενες.
Φιλίας μέγιστος δεσμὸς αἱ τέκνων γοναί.

## ΕΙΣ ΠΑΙΔΕΙΑΝ.

Ἀναφαίρετον κτῆμ᾽ ἐστι παιδεία βροτοῖς.
Ἅπαντας ἡ παίδευσις ἡμέρους ποιεῖ.
Βραβεῖον ἀρετῆς ἐστὶν εὐπαιδευσία.
Βλέπων πεπαίδευμ᾽ εἰς τὰ τῶν ἄλλων κακά.
Γράμματα μαθεῖν δεῖ, καὶ μαθόντα, νοῦν ἔχειν.
Διπλοῦν ὁρῶσιν οἱ μαθόντες γράμματα.
Βακτηρία γάρ ἐστι παιδεία βίου.
Κάλλιστόν ἐστι κτῆμα, παιδεία βροτοῖς.
Κἂν τοῖς ἀγροίκοις ἐστὶ παιδείας λόγος.
Καλὸν δὲ καὶ γέροντι μανθάνειν σφόδρα.
Τιμὴ πέφυκε πᾶσι παιδεία βροτοῖς.
Ὁ γράμματ᾽ εἰδὼς, καὶ περισσὸν νοῦν ἔχει.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ο῾ σοφὸς ἐν αὐτῷ περιφέρει τὴν οὐσίαν
Ο῾ μὴ δαρεὶς ἄνθρωπος, οὐ παιδεύεται
Ο῾ γραμμάτων ἄπειρος, οὐ βλέπει β
πων.
Οὐκ ἔστι σοφίας κτῆμα τιμιώτερον.
Σοφοῖς ὁμιλῶν, κἀυτὸς ἐκβήσῃ σοφός.
Σοφία γάρ ἐστι καὶ μαθεῖν ὃ μὴ νοεῖς
Σοφῷ παρ᾽ ἀνδρὶ πρῶτον εὑρέθη λόγος.
Σοφὸς γὰρ οὐδεὶς, ὃς τὰ πάντα προσκ
πτει.
Σοφία δὲ πλούτου κτῆμα τιμιώτερον.
Σοφοῦ παρ᾽ ἀνδρὸς χρὴ σοφόν τι μανθ
νειν.
Σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας
Ω῾ς οὐδὲν ἡ μάθησις, ἂν μὴ νοῦς παρ

## ΕΙΣ ΠΑΡΑΙΝΕΣΙΝ.

Α῎παντες ἐσμὲν εἰς τὸ νουθετεῖν σοφοί.
Αὐτοὶ δ᾽ ἁμαρτάνοντες, οὐ γιγνώσκομεν

## ΕΙΣ ΠΕΝΙΑΝ.

Πενία δ᾽ ἀγνώμονας γε τοὺς πολλοὺς ποιε
Καλῶς πένεσθαι μᾶλλον, ἢ πλουτεῖν κ
κῶς.
Λεπτῶς καλῶς ζῆν κρεῖσσον, ἢ λαμπρ
κακῶς.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens



Μισῶ πένητα πλουσίῳ δωρούμενον.
Πενίαν φέρειν, οὐ παντὸς, ἀλλ' ἀνδρὸς σοφοῦ.
Πένητας ἀργοὺς οὐ τρέφει ῥαθυμία.
Πενία δ' ἄτιμον καὶ τὸν εὐγενῆ ποιεῖ.
Πενίαν φέρειν, καὶ γῆρας, ἐστὶ δύσκολον.
Οὐδὲν πενίας βαρύτερόν ἐστιν φορτίου.
Τῶν γὰρ πενήτων εἰσὶν οἱ λόγοι κενοί.

## ΕΙΣ ΠΙΣΤΙΝ.

Μὴ πάντα πειρῶ πᾶσι πιστεύειν ἀεί.

## ΕΙΣ ΠΛΕΟΝΕΞΙΑΝ.

Ἰσότητα δ' αἱροῦ, πλεονεξίαν φεῦγε.
Κακὸν μέγιστον ἐν βροτοῖς ἀπληστία.

## ΕΙΣ ΠΛΟΥΤΟΝ.

Δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν.
Δύναμις πέφυκε τοῖς βροτοῖς τὰ χρήματα.
Ἐὰν δ' ἔχωμεν χρήμαθ', ἕξομεν φίλους.
Ἥδιστόν ἐστι τῶν ὑπαρχόντων κρατεῖν.
Μέμνησο πλουτῶν τοὺς πένητας ὠφελεῖν.
Μὴ σπεῦδε πλουτεῖν, μὴ πένης γένῃ ταχύ.
Πλούτῳ πεποιθὼς, ἄδικα μὴ πειρῶ ποιεῖν.

Ῥάθυμος ὢν σὺ πλούσιος, πένης ἔσῃ.
Χρυσὸς δ' ἀνοίγει πάντα, κ' ἄϊδου πύλα

## ΕΙΣ ΠΟΛΥΠΡΑΓΜΟΣΥΝΗΝ.

Πολυπραγμονεῖν τ' ἀλλότρια μὴ βούλο
κακά.
Πολλοὶ σχολὴν ἄγουσιν εἰς τὰ χείρονα
Τὸ πολλὰ πράττειν ἐστὶ πανταχοῦ σαπρό
Τὸ πολλὰ πράττειν, κοφίνας πολλὰς ἔχει.

## ΕΙΣ ΠΟΝΗΡΟΥΣ.

Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν εὐτυχῇ.
Ἀνδρὸς πονηροῦ φεῦγε συνοδίαν ἀεί.
Ἀσυλλόγιστόν ἐστιν ἡ πονηρία.
Ἀνουθέτητόν ἐστιν ἡ πονηρία.
Ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσ
ται.
Δύσμορφος εἴην μᾶλλον, ἢ καλὸς κακό
Τὸν δόλιον ἄνδρα φεῦγε παρ' ὅλον τ
βίον.
Ἑαυτὸν οὐδεὶς ὁμολογεῖ, κακοῦργος ὢν
Ἤθη πονηρὰ τὴν φύσιν διαστρέφει.
Θεὸς δικαίοις ἔργοις ἥδεται, καὶ οὐκ
δίκοις.
Κακοῖς ὁμιλῶν, κ' αὐτὸς ἐκβήσῃ κακός.
Κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχε

Ακαδημία Αθηνών / Academy of Athens



Καὶ ζῶν ὁ φαῦλος, καὶ θανὼν κολάζεται.
Κακῷ σὺν ἀνδρὶ μηδ' ὅλως ὁδοιπόρει.
Πονηρὸν ἄνδρα μηδέ ποτε ποιοῦ φίλον.
Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί.
Φασὶ κακίστους οἱ πονηροὶ τοὺς καλούς.
Χρηστὸς πονηροῖς οὐ τιτρώσκεται λόγοις.
Ὡς ἔργον εὖ ζῆν ἐν πονηροῖς ἤθεσιν.
Ὡς πάντα τιμῆς ἐστι, πλὴν κακοῦ τρόπου.

## ΕΙΣ ΠΡΟΣΟΧΗΝ.

Εἰμὴ φυλάσσεις μίκρ', ἀπολεῖς τὰ μείζονα.
Τῆς ἐπιμελείας πάντα δοῦλα γίγνεται.

## ΕΙΣ ΣΙΩΠΗΝ.

Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.
Γλώσσῃ ματαίᾳ ζημία προσγίνεται.
Διὰ δὲ σιωπῆς πικρότερον κατηγόρει.
Ἐνίοις τὸ σιγᾷν ἐστιν κρεῖττον τοῦ λέγειν.
Εὐκαταφρόνητον ἐστι σιγηρὸς τρόπος.
Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν.
Ἢ λέγε τι σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε.
Πολλοῖς ἀπόκρισις ἡ σιωπὴ τυγχάνει.
Ἡ γλῶσσα πολλῶν ἐστιν αἰτία κακῶν.
Ἢ δεῖ σιωπᾷν, ἢ λέγειν ἀμείνονα.
Κρεῖττον σιωπᾷν ἢ λαλεῖν, ἃ μὴ πρέπει.
Οὐδὲν σιωπῆς ἐστιν χρησιμώτερον.

Ακαδημία Αθηνών / Academy of Athens



Σιγή ποτ' ἐστιν αἱρετωτέρα λόγου.
Οὐ δεῖ σιωπᾷν, καὶ λαλεῖν ὅπου χρεών.

## ΕΙΣ ΣΥΝΕΙΔΗΣΙΝ.

Βροτοῖς ἅπασιν ἡ συνείδησις Θεός.

## ΕΙΣ ΤΕΧΝΗΝ.

Λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη.
Τύχῃ τέχνην εὕρηκας, οὐ τέχνῃ τύχην.

## ΕΙΣ ΤΙΜΗΝ.

Τιμώμενοι γὰρ πάντες ἥδονται βροτοί.

## ΕΙΣ ΤΟΛΜΗΝ.

Εὔτολμος εἶναι κρίνε, τολμηρὸς δὲ μή.
Ἔστι τὸ τολμᾷν, ὦ φίλ', ἀνδρὸς οὐ σοφοῦ.
Προπέτεια πολλοῖς ἐστιν αἰτία κακῶν.
Τὸ πολλὰ τολμᾷν, πολλ' ἁμαρτάνειν ποιεῖ.

## ΕΙΣ ΤΥΧΗΝ.

Ἄνθρωπος ὢν, μέμνησο τῆς κοινῆς τύχης.
Βέβαιον οὐδὲν ἐν βίῳ δοκεῖ πέλειν.
Δοὺς τῇ τύχῃ τὸ μικρὸν, ἐκλήψῃ μέγα.

Δυσπαροκολούθητον δὲ πρᾶγμ' ἐσθ' ἡ τύχη.
Θεῷ μάχεσθαι δεινόν ἐστι, καὶ τύχῃ.
Οἷς μὲν δίδωσιν, οἷς δ' ἀφαιρεῖται τύχη.
Πολλοὺς κακῶς πράσσοντας, ὤρθωσε τύχη.
Πᾶσι γὰρ εὖ φρονοῦσιν συμμαχεῖ τύχη.
Ῥέγχει παρούσης τῆς τύχης τὰ πράγματα.
Στρέφει δὲ πάντα τῷ βίῳ μικρὰ τύχη.
Τύχης τὰ θνητῶν πράγματ', οὐκ εὐβουλίας.
Ταὐτόματον ἡμῶν καλλίω βουλεύεται.
Τὰ θνητὰ πάντα μεταβολὰς πολλὰς ἔχει.
Χειμὼν μεταβάλλει ῥαδίως εἰς εὐδίαν.
Ὡς ποικίλον πρᾶγμ' ἐστὶ καὶ πλάνον, τύχη.

## ΕΙΣ ΥΒΡΙΝ.

Δύσμοιρος ἴσθι μᾶλλον, ἢ κακηγόρος.
Ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος.
Οὐδὲν πέπονθας δεινόν, ἂν μὴ προσποιῇ.

## ΕΙΣ ΥΓΕΙΑΝ.

Οὐκ ἔσθ' ὑγείας κρεῖττον οὐδὲν ἐν βίῳ.
Ὑγεία, καὶ νοῦς, ἐσθλὰ τῷ βίῳ δύο.

Ακαδημία Αθηνών / Academy of Athens



## ΕΙΣ ΥΠΕΡΗΦΑΝΙΑΝ.

Ἀλαζονείας οὔτις ἐκφεύγει δίκην.
Ὅτ' εὐτυχεῖς μάλιστα, μὴ μέγα φρόνει.

## ΕΙΣ ΥΠΝΟΝ.

Ὕπνος δὲ θανάτου τις προμελέτησις πέλει.
Ὕπνος δὲ πᾶσιν ἐστὶν ὑγεία βίου.
Ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια.
Ὕπνος πέφυκε σώματος σωτηρία.
Ὕπνος δὲ πεῖναν τὴν κακέσχατον δαμᾷ.

## ΕΙΣ ΥΠΟΜΟΝΗΝ.

Ἀνδρὸς τὰ προσπίπτοντα γενναίως φέρειν.
Ἔνεγκε λύπην καὶ βλάβην ἐῤῥωμένως.
Κούφως φέρειν δεῖ τὰς παρεστώσας τύχας.
Νίκα λογισμῷ τὴν παροῦσαν συμφοράν.
Πειρῶ τύχης ἄγνοιαν εὐχερῶς φέρειν.
Ῥᾷον παραινεῖν, ἢ παθόντα καρτερεῖν.
Στεῤῥῶς φέρειν χρὴ συμφορὰν τὸν εὐγενῆ.
Τὴν τῶν κρατούντων μάθε φέρειν ἐξουσίαν
Φρονοῦντός ἐστι, ζημίαν ῥᾷον φέρειν.
Φέρειν ἀνάγκη θνητὸν ὄντα τὴν τύχην.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## ΕΙΣ ΦΘΟΝΟΝ.

Αὐτὸς πενωθεὶς, τοῖς ἔχουσι μὴ φθόνει.

## ΕΙΣ ΦΙΛΟΥΣ.

Ἄδικον τὸ λυπεῖν τοὺς φίλους ἑκουσίως.
Ἅπασιν εὖ πράττουσιν ἥδομαι φίλοις.
Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.
Βέβαιος ἴσθι, καὶ βεβαίως χρῶ φίλοις.
Δεῖ τοὺς φιλοῦντας πίστιν, οὐ λόγους ἔχειν.
Ἐν τοῖς δὲ δεινοῖς, χρημάτων κρεῖττον φίλος.
Εὔχου δ' ἔχειν τι, κ' ἂν ἔχῃς, ἕξεις φίλους.
Ἐν τοῖς κακοῖς δὲ τοὺς φίλους εὐεργέτει.
Ἴσον θεῷ σου τοὺς φίλους τιμᾷν θέλε.
Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς.
Κρίνει φίλους ὁ καιρὸς, ὡς χρυσὸν τὸ πῦρ.
Καλὸν τὸ μηδὲν εἰς φίλους ἁμαρτάνειν.
Καλὸν θέαμα δ' ἐστὶν εὖ πράττων φίλος.
Κακὸν φέρουσι καρπὸν οἱ κακοὶ φίλοι.
Ἡ τοῦ βίου κοινωνία, μακροτέραν τὴν φιλίαν ποιεῖ.
Λίαν φιλῶν σεαυτὸν, οὐχ ἕξεις φίλον.
Μὴ φεῦγ' ἑταῖρον ἐν κακοῖσι κείμενον.
Μακάριος, ὅς τις ἔτυχε γενναίου φίλου.
Μηδέ ποτε πειρῶ δύο φίλων εἶναι κριτής.

Ακαδημία Αθηνών / Academy of Athens



Νόμιζ' ἀδελφοὺς τοὺς ἀληθινοὺς φίλους.
Οὐκ ἔστιν οὐδεὶς, ὅς τις οὐχ αὑτὸν φιλεῖ.
Ὀργῆς χάριν, τὰ κρυπτὰ μὴ ἐκφάνῃ φίλου.
Οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου.
Πειρῶ φίλοισι μὴ κακὸς γ' εἶναι φίλος.
Πολλοὶ τραπέζης, οὐκ ἀληθείας φίλοι.
Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους.
Φίλον δι' ὀργὴν ἐν κακοῖς μὴ παρίδῃς.
Φίλος φίλῳ γὰρ συμπονῶν αὑτῷ πονεῖ.
Φίλου τρόπους γίνωσκε, μιμήσῃς δὲ μή.
Φίλος με βλάπτων οὐδὲν ἐχθροῦ διαφέρει.
Φίλους ἔχων, νόμιζε θησαυροὺς ἔχειν.
Φιλεῖ δ' ἑαυτοῦ πλεῖον οὐδεὶς οὐδένα.
Φιλίας δικαίας κτῆσις ἀσφαλεστάτη.
Φίλον βέβαιον ἐν κακοῖσι μὴ φοβοῦ.

## ΕΙΣ ΦΙΛΟΠΟΝΙΑΝ.

Ἔργοις φιλόπονος ἴσθι, μὴ λόγοις μόνον.
Ἐν μυρίοις τὰ καλὰ γίγνεται πόνοις.
Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.
Φιλόπονος ἴσθι, καὶ βίον κτήσῃ καλόν.
Ὡς ἡδὺ τοῖς σοφοῖσι μεμνῆσθαι πόνων.
Ὡς πολλὰ θνητοῖς ἡ σχολὴ ποιεῖ κακά.
Αὐτά σε διδάσκει τοῦ βίου τὰ πράγματα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## ΕΙΣ ΦΡΟΝΗΣΙΝ.

Ἀγαθὸν μέγιστον ἡ φρόνησις ἐστ' ἀεί.
Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.
Ἄριστόν ἐστι πάντ' ἐπίστασθαι καλά.
Ἂν εὖ φρονῇς, τὰ πάντα γ' εὐδαίμων ἔσῃ.
Ἀεὶ κράτιστόν ἐστι τ' ἀσφαλέστατον.
Ἔνιοι κακῶς φρονοῦσι, πράσσοντες καλῶς.
Ἐμπειρία γὰρ τῆς ἀπειρίας κρατεῖ.
Ἥδυγε πατὴρ φρόνησιν ἀντ' ὀργῆς ἔχων.
Ἥδιστόν ἐστι, εὐτυχοῦντα νοῦν ἔχειν.
Μισῶ σοφιστὴν, ὅς τις οὐχ αὑτῷ σοφός.
Χαῖρε τοῖς ἐλέγχουσί σε μᾶλλον, ἢ τοῖς κολακεύουσι.
Συνετὸς πεφυκὼς, φεῦγε τὴν κακουργίαν.
Ὁ παρ' ἡλικίαν νοῦς μῖσος ἐξεργάζεται.
Οὐδεὶς ὃ νοεῖς μὲν οἶδεν, ὃ δὲ ποιεῖς βλέπει.
Οὐ πανταχῇ δ' ὁ φρόνιμος ἁρμόττειν δοκεῖ.
Τὸ, Μηδὲν εἰκῆ, πανταχοῦ ἐστι χρήσιμον.
Ψυχῆς μέγας χαλινὸς ἀνθρώποις ὁ νοῦς.
Ὡς οὐδὲν ἡ μάθησις, ἢν μὴ νοῦς παρῇ.

## ΕΙΣ ΦΥΣΙΝ.

Ἡ δοῦσα πάντα καὶ κομίζεται φύσις.

Ἡ φύσις ἑκάστου γὰρ γένους ἐστὶ πατρίς.
Ἡ φύσις ἁπάντων τῶν διδαγμάτων κρατεῖ.
Φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιον.

## ΕΙΣ ΧΡΟΝΟΝ.

Ἄγει δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνος.
Μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.
Πάντ' ἀνακαλύπτων ὁ χρόνος πρὸς φῶς φέρει.
Σύμβουλος οὐδείς ἐστι βελτίων χρόνου.
Χρόνῳ τὰ πάντα γίγνεται, καὶ κρίνεται.
Χρόνος δίκαιον ἄνδρα δεικνύει μόνος.
Χρόνος δ' ἀναιρεῖ πάντα, καὶ λήθην ἄγει.

## ΕΙΣ ΧΡΕΟΣ.

Λαβὼν ἀπόδος, ἄνθρωπε, καὶ λήψῃ πάλιν.
Τὰ δάνεια δούλους τοὺς ἐλευθέρους ποιεῖ.

## ΕΙΣ ΨΕΥΔΟΣ.

Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.
Ψεῦδος διαβολὴ τὸν βίον λυμαίνεται.
Ψεῦδος δὲ μισεῖ πᾶς σοφὸς, καὶ χρήσιμος.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## ΕΙΣ ΨΟΓΟΝ.

Ἤθους δικαίου φαῦλος οὐ ψαύει λόγος.
Νικᾷ γὰρ αἰεὶ διαβολὴ τὰ κρείττονα.
Τὸν αὐτὸν αἰνεῖν, καὶ ψέγειν, ἀνδρὸς κακοῦ.

## ΕΙΣ ΨΥΧΗΝ.

Ψυχὴν ἔθιζε πρὸς τὰ χρηστὰ πράγματα.
Ψυχῆς τιμὴ μάθησις καὶ νοῦς συντεταγμένος ἐπὶ φρόνησιν.
Πολλοῖσι θνητῶν ἡ μὲν ὄψις εὐγενής, ὁ νοῦς δὲ ἐν αὐτῇ, δυσγενὴς εὑρίσκεται.
Νοῦν χρὴ θεάσασθαι· οὐδὲν τῆς εὐμορφίας ὄφελος, ὅταν τίς μὴ φρένας ἔχῃ.
Πλοῦτον μὲν πλουτοῦντος ἔχεις, ψυχὴν δὲ πένητος.

ΤΕΛΟΣ ΤΩΝ ΜΟΝΟΣΤΙΧΩΝ ΓΝΩΜΩΝ.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΤΩΝ
# ΕΛΛΗΝΙΚΩΝ
# ΕΠΙΣΤΟΛΩΝ
# ΑΝΘΟΛΟΓΙΑ

## Χίων Ματρίδι. Α΄.

Ὁ ἀποδιδοὺς σοι τὰ γράμματα Ἀρχέπολις ὁ Λήμνιος, ἐμπορευόμενος εἰς τὸν Πόντον, ἐδεήθη μου, ὅπως αὐτὸν συστήσαιμί σοι· ἐγὼ δὲ ἄσμενος ἐδεξάμην, καὶ οὐδὲ φίλος μοι ὢν ἐτύγχανε· κέρδος οὖν μέγα ᾠήθην, ἀφορμὴν λαβεῖν τοῦ ποιῆσαί τινα φίλον, μὴ ὄντα πρότερον· εἰς ὃ κέρδος συλλήψῃ μοι καὶ σὺ, φιλανθρώπως αὐτὸν εἰσδεξάμενος. Πείθομαι δὲ καὶ μέτριον ἔμπορον εἶναι· καὶ γὰρ φιλοσοφήσας πρότερον, εἶτα ἐμπορεύεται.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Φίλιππος Ἀριστοτέλει εὖ πράττειν. Β'.

Ἴσθι μοι γεγονότα Υἱόν. Πολλὴν οὖν τοῖς Θεοῖς χάριν ἔχω, οὐχ οὕτως ἐπὶ τῇ γεννήσει τοῦ παιδὸς, ὡςἐπὶ τῷ κατὰ τὴν σὴν ἡλικίαν αὐτὸν γεγονέαι· ἐλπίζω γὰρ αὐτὸν ὑπὸ σοῦ τραφέντα, καὶ παιδευθέντα, ἄξιον ἔσεσθαι καὶ ἡμῶν, καὶ τῆς τῶν πραγμάτων διαδοχῆς.

Διογένης ὁ Κυνικὸς Ἀπολλήξιδι. Γ'.

Ἐνέτυχόν σοι περὶ οἰκήσεως, καὶ χάρις ὑποσχοσμένῳ· κοχλίαν δὲ θεασάμενος, εὗρον οἴκησιν ἀλεεινήν. Ἀπολέλυσο οὖν τῆς ὑπηρεσίας, καὶ σύγχαιρε ἡμῖν τὴν φύσιν εὑρίσκουσι.

Μελισίππῳ. Δ'.

Ἤκουσόν σου λελυπῆσθαι ὅτι τὰ Ἀθηναίων τέκνα πληγὰς ἡμῖν ἐνέτεινε μεθύοντα, καὶ δεινὰ πάσχειν, εἰ σοφία πεπαρώνηται. Εὖ δὲ ἴσθι, ὅτι τὸ Διογένους μὲν ἐπλήχθη σῶμα ὑπὰ τῶν μεθυόντων, ἀρετὴ δὲ οὐκ ἠσχύνθη, ἐπεὶ μήτε κοσμεῖσθαι πέφυκεν ὑπὸ φαύλων, μήτε αἰσχύνεσθαι. Διογένης μὲν δὴ οὐχ ὑβρίσθη, κακῶς δ' ἔπαθεν ὁ Ἀθηναίων δῆμος, ἐν ᾧ τινὲς ἔδοξαν ἀρετῆς ὑπεριδεῖν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

## Ἀπολλήξιδι. Ε'.

Μηνόδωρον Φιλόσοφον παρεκάλεσάν μ
συστῆσαί σοι Μεγαρικοὶ νεανίσκοι. Γελοι
τάτην σύστασιν· ὅτι μὲν γὰρ ἄνθρωπ
ἐστιν, ἐκ τῶν εἰκόνων εἴσῃ· εἰ δὲ κα
Φιλόσοφος, διὰ βίου, καὶ λόγου· ὁ γ
καθ' ἡμᾶς σπουδαῖος δι' ἑαυτοῦ συνίστατα

## Κράτης τοῖς ἑταίροις. Ϛ'.

Μελέτω ὑμῖν τῆς ψυχῆς. τοῦ δὲ σώμα
τος, ὅσον ἀνάγκη· τῶν δ' ἔξω μηδ' ὅσο
Εὐδαιμονία γὰρ οὐχ ἡδονὴ, δι' ἣν τῶ
ἐκτὸς χρεία, ἀλλ' ἀρετὴ μετ' οὐδενὸς τῶ
ἐκτὸς τελεία.

## Τοῖς αὐτοῖς. Ε'.

Καλὸν νόμος, ἀλλ' οὐ κρεῖττον Φιλοσο
φίας· ὁ μὲν γὰρ βιάζεται μὴ ἀδικεῖν,
δὲ διδάσκει. Ὅσῳ δὲ χεῖρόν ἐστιν ἀνάγ
κῃ τί ποιεῖν τοῦ ἑκουσίως, τοσούτῳ κα
νόμος Φιλοσοφίας. Ὥς τε διὰ ταῦτα φι
λοσοφεῖτε, καὶ μὴ πολιτεύεσθε. Κρεῖττο
γάρ. δι' οὗ διδάσκονται ἄνθρωποι δικαιο
πραγεῖν ἐπίστασθαι, ἢ δι' οὗ ἀναγκάζοντα
μὴ ἀδικεῖν.

## Ὠριγένει. Η΄.

Οὐ ποιεῖ ἀγρὸς σπουδαίους οὐδὲ ἄστυ φαύλους, ἀλλ' αἱ σὺν τοῖς ἀγαθοῖς, καὶ κακοῖς διατριβαί. Ὥστ' εἰ βούλει ἀγαθούς, καὶ μὴ κακοὺς γενέσθαι σοι τοὺς παῖδας, πέμπε μὴ κατ' ἀγρὸν, ἀλλ' εἰς Φιλοσόφου, ἵνα καὶ αὐτοὶ βαδίζοντες, τὰ καλὰ ἐκμάθοιεν· ἀσκητὸν γὰρ ἀρετὴ, καὶ οὐκ αὐτόματον ἐμβαίνει τῇ ψυχῇ, ὥσπερ κακία.

## Ἀπολλώνιος ὁ Θυανεὺς Εὐφράτῃ. Θ΄.

Ἐμοὶ πρὸς Φιλοσόφους ἐστὶ φιλία· πρὸς μέν τοι σοφιστὰς, ἢ γραμματιστὰς, ἤ τι τοιοῦτο γένος ἕτερον ἀνθρώπων κακοδαιμόνων, οὔτε νῦν ἐστὶ φιλία, μήθ' ὕστερόν ποτε γένοιτο. Τάδε μὲν οὖν οὐ πρὸς σὲ, πλὴν εἰ μὴ καὶ σὺ τούτων εἷς· ἐκεῖνα δὲ, ἃ πάνυ πρὸς σέ· θεράπευέ σου τὰ πάθη, καὶ πειρῶ Φιλόσοφος εἶναι, καὶ μὴ φθονεῖν τοῖς ὄντως φιλοσοφοῦσιν· ἐπείσοι καὶ γῆρας ἤδη πλησίον, καὶ θάνατος.

## Φάλασις Λακρίτῳ, Ι΄.

Ἀχθομένῳ μέν σοι βαρέως ἐπὶ τῇ τοῦ παιδὸς τελευτῇ, πᾶσα συγγνώμη. Κἀγὼ δὲ σφόδρα συμπαθῶν, ὡς εἷς τῶν οἰκείων τὸ συμβεβηκὸς ἡγούμενος, μεῖζον ἄχθομαι, καίτοι

στεῤῥοτέρα φύσει πρὸς τὰ τοιαῦτα χρώμενος, διὰ τὸ μηδὲν ὄφελος ὁρᾶν, μηδὲ τοῖς ἀμέτρως ἀνιωμένοις. Παραμυθία δὲ ἔστω σοι μεγάλη τῆς ἐπ' αὐτῷ συμφορᾶς· πρῶτον μὲν ὅτι ὑπὲρ πατρίδος ἀγωνιζόμενος ἐν πολέμῳ σὺν ἀριστείᾳ τέθνηκεν, εἶθ' ὅτι νικῶν, καλλίστους τέλους ὑπὸ τῆς εἱμαρμένης ἠξίωται. Τὸ δὲ τελευταῖον, ὅτι μηδὲν ἁμαρτῶν παρὰ τὸν βίον, ὑπεσφράγισε τὴν ἰδίαν ἀρετὴν θανάτῳ. Ὁ μὲν γὰρ ἐν τῷ ζῆν ἀγαθὸς, ἄδηλον εἰ μεταβαλεῖ πρὸς τὸ χεῖρον· αἱ τύχαι γὰρ ἀνθρώπων τὸ πλεῖστον, οὐχ αἱ γνῶμαι κρατοῦσιν· ὁ δὲ τελευτήσας ἀκατηγόρητος, ἐν τῷ καλλίςῳ σχήματι τῆς δόξης καθίδρυται. Νομίσας οὖν ἀξίας παρ' αὐτοῦ χάριτας ἀπειληφέναι γενέσεως, καὶ ἀνατροφῆς, τὸ καλὸν κἀγαθὸν μέχρι τέλους αὐτὸν γεγονέναι, ταύτην αὐτῷ τὴν ἀμοιβὴν ἀντίδος, τὸ πράως καὶ εὐπαρηγορήτως τὴν ἐπ' αὐτῷ λύπην ἐνεγκεῖν.

## Παυρόλα. ΙΑ'.

Τὰ μὲν παρὰ Πατρὸς εἰς Υἱὸν ἔσχηκας δίκαια, Παυρόλα· τὰ δὲ ἐκ σοῦ Πατρὶ δυνάμενος οὐκ ἀντιπαρέχων, ἁμαρτάνεις· πυνθάνομαι γάρ σε παιδείας, ὃ πολλάκις ἐμεμψάμην, οὐκ ἐπιμελεῖσθαι. Ἄλλην δὲ χάριν οὐκ ἐπιζητῶ λαβεῖν παρὰ σοῦ,

τκύτης ὑστερήρας. Ἴσθι δὲ ὅτι καὶ τὸ παιδείας συμφέρον, ἐὰν χαρίσασθαι βουληθῆς, οὐχ ὁ ληψόμενος τὴν χάριν, ἀλλ' ὁ δώσων μᾶλλον καθέξει.

Ακαδημία Αθηνών / Academy of Athens

## Λιβάνιος Βασιλείῳ. ΙΒ΄.

Οὔπω μοι τῆς λύπης ὑφῆκας, ὥς τε μεταξὺ γράφοντα τρέμειν. Ἀλλ' εἰ μὲν ὑφῆκας, τί οὐκ ἐπιστέλλεις, ὦ ἄριστε, εἰ δὲ κατέχεις ἔτι (ὃ πάσης λογίας ψυχῆς καὶ τῆς σῆς ἀλλότριον) πῶς ἄλλοις κηρύττων, μέχρι δυσμῶν ἡλίου μὴ χρῆναι φυλάττειν λύπην, ἐν πολλοῖς ἡλίοις ἐφύλαξας; ἢ τάχα ζημιῶσαί με προείλου; τιμωρεῖσθαί με βούλει, τῆς μελιχρᾶς σου φωνῆς ἀποστερῶν; Μὴ σύγε, ὦ γενναῖε, ἀλλὰ γενοῦ πρᾶος, καὶ δὸς ἀπολαύειν τῆς παγχρύσου σου γλώττης.

## Βασίλειος Ὀλυμπίῳ. ΙΓ΄.

Ἔγραφες ἡμῖν πρότερον μὲν ὀλίγα, νῦν δ' οὐδὲ ὀλίγα, καὶ ἔοικεν ἡ βραχυλογία προϊοῦσα τῷ χρόνῳ, παντελὴς γίνεσθαι ἀφωνία. Ἐπάνελθε τοίνυν ἐπὶ τὸ ἔθος, ὡς οὐκ ἔτι σοι μεμψόμεθα λακωνίζοντι πρὸς ἡμᾶς διὰ γραμμάτων· ἀλλὰ καὶ τὰ μικρὰ γράμματα, σύμβολα ὄντα τῆς μεγάλης σου διαθέσεως, πολλοῦ ἄξια ποιησόμεθα· μόνον ἐπίστελλε ἡμῖν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



## Ἀνεπίγραφος. ΙΔ΄.

Ὅτε σε φιλῶ, οἷς ἐπιστέλλω μάθε· ὅ[...] με μισεῖς, οἷς σιωπᾷς ἔγνων. Γράφε [...] κἀντοῦ λοιποῦ, καλάμῳ, καὶ μέλανι, κ[...] βραχεῖ χάρτῃ, φιλοῦντας φιλῶν.

## Ἀνεπίγραφος. ΙΕ΄.

Ἓν γνώρισμα τοῦ ζῆν, ὁ λόγος. Πῶ[ς] δὲ σὺ ὑπὲρ γῆς εἶναι νομισθείης, μηδέπ[ο]τε φθεγξάμενος· ἀλλ᾽ ἄπωσαι τὴν σιωπ[ὴν] σου γράψας ἡμῖν, καὶ ἐμφανίσας σαυτὸ[ν] ὅτι περ ζῇς.

## Βασίλειος Καλλιγράφῳ. ΙϚ΄.

Ὀρθὰ γράφε, καὶ χρῶ τοῖς στίχοις ὀρ[θ]θῶς, καὶ μήτε αἰωρείσθω πρὸς ὕψος [ἡ] χείρ, μήτε φερέσθω κατὰ κρημνῶν, μηδ[ὲ] βιάζου τὸν κάλαμον λοξὰ βαδίζειν, ὥ[σ]περ τὸν παρ᾽ Αἰσώπῳ καρκίνον· ἀλλ᾽ εὐθ[ὺ] χώρει, ὥσπερ ἐπὶ στάθμης βαδίζων τεκτονικῆς, ἣ πανταχοῦ φυλάττει τὸ ἴσον, καὶ πᾶν ἀναιρεῖ τὸ ἀνώμαλον· τὸ γὰρ λοξὸν ἀπρεπές· τὸ δὲ εὐθὺ, τερπνὸν τοῖς ὁρῶσιν, οὐκ ἐῶν ἀνανεύειν, καὶ κατανεύειν, ὥσπερ τὰ κηλώνια, τοὺς ὀφθαλμοὺς τῶν ἀναγινωσκόντων· ὁποῖόν τι κἀμοὶ συμβέβηκε τοῖς γράμμασιν ἐντυχόντι τοῖς σοῖς

τῶν γὰρ στίχων κειμένων κλιμακηδὸν, ἡνίκα ἔδει μεταβαίνειν ἐφ' ἑτέρου εἰς ἕτερον, ἀνάγκη ἦν ἐξορθοῦν πρὸς τὸ τέλος τοῦ προσιόντος, ἐν ᾧ μηδαμοῦ φαινομένης τῆς ἀκολουθίας, ἀνατρέχειν ἔδει πάλιν, καὶ τὴν τάξιν ἐπιζητεῖν, ἀναποδίζοντα, καὶ παρεπόμενον τῷ αὔλακι, καθάπερ τὸν Θησέα τῷ μίτῳ τῆς Ἀριάδνης φασί. Γράφε τοίνυν ὀρθῶς, καὶ μὴ πλάνα τὸν νοῦν τῷ πλαγίῳ καὶ λοξῷ τῶν γραφομένων.

## Γρηγορίῳ τῷ Θεολόγῳ. ΙΖ'.

Γράμμα ἦλθέ μοι πρώην παρὰ σοῦ, ἀκριβῶς σὸν, οὐ τοσοῦτον τῷ χαρακτῆρι τῆς χειρὸς, ὅσον τῷ τῆς ἐπιστολῆς ἰδιώματι· ὀλίγα γὰρ ἦν τὰ γράμματα πολλὴν διάνοιαν παριστῶντα· πρὸς ἃ εὐθὺς μὲν οὐκ ἀπεκρινάμεθα, διότι αὐτοὶ μὲν ἀπεδημοῦμεν, ὁ δὲ Γραμματοφόρος ἑνί τῶν ἐπιτηδείων ἡμῖν ἐπιδοὺς τὴν ἐπιστολὴν, ἀπιὼν ᾤχετο. Ἀλλὰ νῦν διὰ Πέτρου προφθεγγόμεθά σε, ὁμοῦ μὲν ἀποτιννύντες τῆς προσηγορίας τὸ χρέος, ὁμοῦ δὲ ἀφορμὴν δευτέρων γραμμάτων παρέχοντες. Πάντως δὲ οὐδεὶς πόνος λακωνικῆς ἐπιστολῆς, ὁποῖαι εἰσὶν αἱ παρὰ σοῦ ἑκάστοτε πρὸς ἡμᾶς ἀφικνούμεναι.

Ακαδημία Αθηνών / Academy of Athens

## Γρηγόριος Θεολόγος Νικοβούλῳ. ΙΗ'.

Τὸ λακωνίζειν οὐ τοῦτ' ἔστιν ὅπερ οἴε[illegible] ὀλίγας συλλαβὰς γράφειν, ἀλλὰ περὶ πλε[illegible]στων ὀλίγας· οὕτως ἐγὼ καὶ βραχυλογ[illegible]τατον Ὅμηρον λέγω, καὶ πολὺν τὸν Ἀ[illegible]τίμαχον. Πῶς; τοῖς πράγμασι κρίνων [illegible] μῆκος, ἀλλ' οὐ τοῖς γράμμασι.

## Φιλόστρατος Ἐπικτήτῳ. ΙΘ'.

Εἰ κρότῳ ἀνοήτῳ χαίρεις, καὶ τοὺς πε[illegible]λαργούς, ἐπειδὰν παριόντες ἡμᾶς κροτῶσιν, ἡγοῦ δῆμον, τοσούτῳ σωφρονέστερον τῶν Ἀθηναίων, ὅσῳ μηδὲ αἰτοῦσι μηδὲν ὑπὲρ τοῦ κροτεῖν.

## Συνέσιος Συμπλικίᾳ. Κ'.

Ἔδει μέντοι ταῖς τύχαις τὰς γνώμας μὴ συνεξαίρεσθαι, μηδὲ τὸ μεμνῆσθαι τῶν πάλαι φίλων, ἔλαττον ἡγεῖσθαι τῆς παρούσης ἀξίας. Σὺ δὲ ἡμῶν ἐπιλήσμων ἐγένου χρόνου συχνοῦ· χρῆν δὲ οὐχὶ, καίτοι σφοδρᾶς διαθέσεως συναψάσης ἡμᾶς ἀλλήλοις.

## Ἡλιοδώρῳ. ΚΑ΄.

Ἐμοὶ μὲν συμπρόεισι τοῖς ἐνιαυτοῖς καὶ τοῦ φίλτρου προσθήκη, σὺ δ' εἰ μὲν ὁμοίως ἔχων, οὐκ ἄγεις σχολὴν ὑπὸ τοῦ τῶν πραγμάτων ὄχλου, γράμμασι τιμᾷν, ὡς εἰκὸς, ἅπαξ ποτὲ, καὶ οὓς εἰκὸς, κλέψας σαυτὸν ἀπὸ τῶν δημοσίων χρόνον ὅσον ἀρκέσαι πρὸς μέτρον ἐπιστολῆς, αὐτὸ τοῦτο μήνυσον· εἰ δὲ ἐπιγινώσκεις ἀληθευομένην κατὰ σοῦ τὴν ὑποψίαν τῆς λήθης, διόρθωσαι μετανοίᾳ, καὶ σαυτὸν ἡμῖν ἐπανάγαγε.

## Τῷ Ἀδελφῷ. ΚΒ΄.

Τίνα μέντοι, τίνα παρὰ τῶν οἷος αὐτὸς εἶ, προσήκει θαυμάζεσθαι; τὸν σώφρονα, τὸν ἐμμελῆ, τὸν παιδείας ἑταῖρον, τὸν προσανέχοντα Θεῷ καθάπαξ, τὸν οἷός ἐστι Γερόντιος. Ἔχεις οὖν τὸν ἄνδρα μετὰ τῆς ἐπιστολῆς· ᾧ χρησάμενος, ἐρεῖς οὐ φαῦλον ἐπαινέτην ἐμέ.

## Τῷ αὐτῷ ΚΓ΄.

Ἐπιστολὴν ἐπέθηκα τῷ θαυμαστῷ Γεροντίῳ πρὸς τὴν ἱεράν σου, καὶ τριπόθητόν σου κεφαλὴν, τῆς πρώτης ἐντεύξεως παρέξουσαν πρόφασιν· τότε μὲν γὰρ αὐτὸν ἴσως

δι' ἐμὲ τιμήσεις· μετὰ δὲ τὴν πεῖραν, ἕτερ
τινα δι' αὐτόν.

## Τῷ αὐτῷ ΚΔ'.

Πυνθάνῃ περὶ Διοσκορίου, πόσους ἀπα-
γέλλει στίχους ἑκάστης ἡμέρας; πεντήκο
τα. Τούτους ἀποδίδωσιν, οὐ προσπταίω
οὐ δισσολογῶν, οὐκ ἐφιστάμενος, ἐφ' ᾧ τ
ἀνάμνησιν ἀθροῖσαι σὺν χρόνῳ· ἀλλ' ἐπε
δὰν ἄρξηται λέγειν, κατατείνει συνεχῶ
καὶ ἡ σιωπὴ τέλος ἐστὶ τῆς ἀπαγγελλίας

## Θεοδώρῳ Ἰατρῷ. ΚΕ'.

Ἀγαθὸν ἀναγκαῖον ἡ ὀλιγοσιτία, ὅ
ἕτερος μὲν ἄν τις καὶ σκώψειε· σοὶ δὲ ο
θέμις, Ἱπποκράτην αὐχοῦντι, ὃς ἀφορίζω
τὴν ἔνδειαν, ἔφη, ὑγείας εἶναι μητέρα.

## Διονύσιος σοφιστὴς Στεφάνῳ. ΚϚ'.

Ὅτι γραμμάτων ἐμῶν ἐπιθυμεῖς, ἠγν
σουν, ὡς δὲ ᾐσθόμην, ἀφ' ὧν ὁ γραμματι
κὸς Βερουκιανὸς μοι διελέχθη, γράφων μ
οὐ παύσομαι, φιλῶν δὲ οὐκ ἐπαυσάμην

## Δημοφίλῳ. ΚΖ'.

Ἄρχε μὲν εὐτυχῶς, εὐτυχήσει δὲ ὡ
ἀγαθός· ἐπεὶ καὶ φιλεῖ τὸ Θεῖον τοὺς ἀγα
θούς. Τὸ δὲ μεμνῆσθαι τῶν φίλων, εἶπε

..λλοτι, καὶ τοῦτο βέβαιον παρά σοι. Ἀλλὰ
..ῶν πραγμάτων ἀφελκόντων εἰς λήθην,
..δωκα διπλῆν ἀνάμνησιν ὧν παρεκάλεσα,
..αὶ τὸν ἐπιδιδόντα, καὶ τὸ διδόμενον.

## Ἀνθεμίῳ. ΚΗ'.

Οὐ παύσομαι γράφων, ἕως ἂν ἀπεί-
..ωμεν, ἐγὼ μὲν γράφων, αὐτὸς δὲ ἐνοχλού-
..ενος, ὅπως ἂν καὶ μάθω βεβαίως. εἰ δεῖ
..ε περὶ ὧν ἐδεήθην τὴν ἐλπίδα τηρεῖν, ἢ
..ᾶλλον ἀποβαλεῖν.

## Εὐσταθίῳ. ΚΘ'.

Ὁ γράφων ἐγὼ τὴν ἐπιστολὴν, φίλος
..μῖν, ὁ κομίζων, φίλος ἐμοί. Γένοιτο τοί-
..ην καὶ σοὶ δι' ἐμέ. Καὶ γνῶθι κἀνταῦθα
..οταπὸς τίς εἰμι, φίλους εἰσάγων. τοῖς φί-
..οις. Ἐφ' οἷς δὲ ἥκει, καὶ ὅπως αὐτὰ χρὴ
..ιαθεῖναι, τὰς μὲν αἰτίας αὐτὸς διηγήσεται,
..ρὸς δὲ τὸ δεύτερον ὑμεῖς ὑφηγήσασθε,
..αὶ φιλοῦντες ἄγαν, καὶ φρονοῦντες ἱκανῶς.

## Ἰουλιανῷ. Λ'.

Ἐπέστειλά σοι γαμοῦντι, καὶ συγγνώμην
ἔχω μετὰ τὸν γάμον σιγῶντι. Οὐδὲ γὰρ
ἔστιν, ὡς ἔοικεν, οὐδενὶ παῤῥησία δεδεμένῳ
..υναικείαις ἀπάταις.

Ακαδημία Αθηνών / Academy of Athens

## Ἀλίκτυπος Ἐγκύμονι. ΛΑ΄.

Δυσμενὴς, καὶ βάσκανος ὁ τῶν γειτο-νων ὀφθαλμὸς, φησὶν ἡ παροιμία· τίς γά-σοι τῶν ἐμῶν φροντίς; τί δὲ τὸ παρ' ἐμο-ῥαθυμίας ἠξιωμένον, κτῆμα σὸν εἶναι νο-μίζεις; Εἶργε τὰς χεῖρας, μᾶλλον δὲ τὰ-ἀπλήστους ἐπιθυμίας· μηδέ σε ἡ τῶν ἀ-λλοτρίων ὄρεξις ἀδίκους αἰτεῖν χάριτα-ἐκβιαζέσθω.

## Ἀμνίων Φιλομόσχῳ. ΛΒ΄.

Ἀπέκειρεν ἡμῶν ἡ χάλαζα βαρέως ἐμ-πεσοῦσα τὰ λήϊα, καὶ λιμοῦ φάρμακον οὐ-δέν. Ὠνεῖσθαι ἡμῖν ἐπακτοὺς πυροὺς οὐχ-οἷόν τε διὰ σπάνιν κερμάτων· ἐστὶ δὲ σοι-ὡς ἀκούω, τῆς πέρυσιν εὐετηρίας λείψανα. Δάνεισον οὖν μοι μεδίμνους εἴκοσιν, ὡς ἂν ἔχοιμι σώζεσθαι αὐτὸς, καὶ ἡ γυνὴ καὶ τὰ παιδία. Καρπῶν δὲ εὐφορίας γε-νομένης, ἐκτίσομεν αὐτὸ τὸ μέτρον καὶ λώϊον, ἐάν τις εὐθηνία γένηται. Μηδὲ πε-ριίδῃς ἀγαθοὺς γείτονα εἰς στενὸν τοῦ καιροῦ φθειρομένους.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens



## ΕΚ ΤΩΝ ΘΕΟΦΥΛΑΚΤΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

### Εὐαγόρας Ἀντιπάτρῳ. ΛΓ'.

Ὅρους ὁ Δημιουργὸς καὶ τῷ θαλαττίῳ διετάξατο κλύδωνι, καὶ τοῖς αἰγιαλοῖς τὸ πελάγιον κεχαλίνωται ῥεῖθρον, καὶ ψάμμος τὶς ἐπὶ μακρᾷ ἠπείρῳ, καὶ θαλάσσῃ μεταίχμιον. Οὐ γὰρ ἀδικεῖν ἡ θαλάσσα τὴν γείτονα γῆν συγκεχώρηται, παλινδρομεῖ δὲ πρὸς ἑαυτὸ τὸ ῥεῖθρον μαινόμενον, μεγάλην ἀπειλῆσαν τῇ χέρσῳ τὴν ἔφοδον. Ὅρους τοιγαροῦν, ὦ Ἀντίπατρε, τῷ σῷ νομοθέτει θυμῷ, ὑπηρέτιν χεῖρα τῆς ὀργῆς μὴ ποιούμενος. Τὸ μὲν οὖν συμφιλοσοφεῖν ταῖς χερσὶ καὶ τὴν γλῶτταν, ἐντελοῦς ἀρετῆς ὅρος ἀκρότατος. Εἰ δὲ μὴ ταύτης κρατεῖν οἷός τε εἶ, ὕβρεσι τὸν θυμὸν ψυχαγώγει, εἰ κυσὶν ὑλακτοῦσιν ἐοικέναι βεβούλησαι. Οὕτω γὰρ καὶ χαλεπαίνουσα θάλαττα, ἀφροῦ περαιτέρω καὶ σάλου, τὰ τῆς ὀργῆς οὐκ ἐνδείκνυται.

### Διογένης Χρύσῃ. ΛΔ'.

Πλούτου σε ταμίαν, οὐ δεσπότην χρημάτων εἶναι φημί. Τοιαύτην γὰρ τὴν καταδίκην οἱ σοὶ κατὰ σοῦ προσήνεγκαν τρόποι.

Ακαδημία Αθηνών / Academy of Athens



Ἀγαθοῦ γὰρ μετέχειν τινὸς τὰς ἀνοσίους οὐ θέμις ψυχάς. Κατόρυττε τοίνυν τὴν γῆν, καὶ τὸν χρυσὸν περιφρούρει, τρισάθλιε. Οὐ γὰρ σὸς, ἀλλὰ παρὰ σοὶ ὁ πλοῦτος εἶναι πεπίστευται· τοῦ Φρυγὸς γὰρ Μίδου τὴν κακίαν ζηλώσας, λιμώττων πλουτεῖς βρόχοις ὥσπερ χρυσοῖς ἀπαγχόμενος.

## Ἀντισθένης Περικλεῖ. ΛΕʹ.

Ὁ Φιλίππου παῖς Ἀλέξανδρος ἐπὶ ταῖς εὐτυχίαις οὐδαμῶς ἐτετύφωτο, ἀλλ' ἐφιλοσόφει τὰ τῆς τύχης φυσήματα, μεγίσταις εὐφημίαις οὐκ εἰωθὼς δελεάζεσθαι. Διά τοι τοῦτο ἐν τῇ τοῦ πολέμου ῥοπῇ, θεασάμενος πεπτωκότα Δαρεῖον, τῇ χλαμύδῃ τὸν ἐχθρὸν περιέσκεπεν, ἀρετῆς, καὶ τύχης ἐνδεικνύμενος εὐγένειαν. Ἐντεῦθεν ἐλοιδόρει τὸν Ἀλέξανδρον τὸ ὑπήκοον, καὶ ἦν ἔγκλημα τῷ Βασιλεῖ ἡ εὐσέβεια. Ὁ μὲν οὖν Ἀλέξανδρος, ἅτε δὴ φιλόσοφος ὢν, ἐδεδοίκει τὸ τῆς τύχης, ὡς ἔοικεν, ἄδηλον. Διὸ καὶ πλείστων αὐτῷ ἀγγελθέντων, ὑφ' ἓν εὐτυχημάτων, ἔφη· ὦ Ζεῦ, μῖξον τὶ τοῖς ἀγαθοῖς καὶ δυστύχημα. Οὕτως εὐλαβεῖτο τὰς εἰς ἄκρον εὐεξίας ἐμφρονέστατα ὁ Ἀλέξανδρος. Εἰ μὲν οὖν γειτνιῶσαν ταῖς τροπαῖς τὴν φύσιν ἠγνόησας, μετ' οὐ πολὺ [illegible]

Ακαδημία Αθηνών / Academy of Athens



πολὺ τὴν πεῖραν ὄψει διδάσκαλον, καὶ τῆς γνώσεως ἕξεις πρεσβύτερα τὰ μαθήματα· εἰ δὲ τυφλώττεις ἑκὼν, χαλεπωτέρας τῆς ποινῆς ἐπιτεύξῃ, πλημμελημάτων, καὶ γνώσεως εἰσπραττόμενος δίκας.

## Ἡρακλείδης Ἀντισθένει. ΛϚ′.

Οὔπω μοι τῆς ὀργῆς ὑφῆκας, Ἀντίσθενες, ἀλλ᾽ ἔτι χαλεπαίνεις ἡμῖν, καὶ κρύπτεις τὴν ἀνίαν προσηνῶν ῥημάτων προσχήματι, ὥσπερ οἱ ἐν αἰθάλῃ σπινθῆρα πυρὸς ταμιεύοντες. Ἐκκάθαρε λοιπὸν τῆς καρδίας τὴν λύμην· τοῦτο γὰρ οἱ ἡμέτεροι λόγοι πρεσβεύονται. Εἰ δὲ μὴ, καὶ θαλάσσης ἀπηνέστερος ἔσῃ· κατευνάζει γὰρ ἐκείνη τὸ ἄγριον, καὶ παρέχεται τοῖς πλωτῆρσιν ὄψιν φιλάνθρωπον, ὁπηνίκα τῷ ἐλαίῳ φιλοφρονοῦνται ἄγαν τοῖς κύμασι χαλεπαίνουσαν.

## Εὐριάδης Κίμωνι. ΛΖ′.

Ἐπαγγέλλῃ πολλὰ, καὶ πράττεις ὀλίγα, καὶ τὴν γλῶτταν ἔχεις ὑψηλοτέραν τῆς πράξεως. Ἀλλ᾽ εἰ μὲν ῥημάτων κομψότης τεθαύμασται παρὰ σοὶ, οἱ ζωγράφοι τῆς σῆς δυνατώτεροι γλώττης, τοσαῦτα πλαστουργοῦντες τοῖς πίναξιν ὅσα πράττειν ἢ

Ακαδημία Αθηνών / Academy of Athens



φύσις οὐ δύναται. Εἰ δὲ καὶ χαίρειν δο-κεῖς ὑποσχέσεσι τοὺς ἀκούοντας, κατ' ὀλίγο μὲν εὐφρανεῖς, ἀνιᾷς δὲ μετ' οὐ πολὺ χα-λεπώτερον· ἐπεὶ καὶ τῶν ἐνυπνίων τὰ κάλλι-στα, οὐ τοσοῦτον ἡμᾶς εὐφραίνει καθεύδον-τας ὅσον ἐγρηγορότας ἐλύπησεν. αἱ γὰρ ἐλπίδες· μετὰ τοῦ ὕπνου συνανίπτανται. Σύμφωνα δὴ τῇ γλώττῃ τὰ πράγματα κέκ-τησο, ἵνα μὴ καὶ φίλοις ἀπεχθήσῃ ψευδό-μενος, καὶ τοῖς ἐχθροῖς ὑπόθεσιν ψόγου πα-ρίσειας, ὡς ἀληθείας ὑπάρχων ἀμετοχος.

## Παρμενίδης Χρυσοσθένει. ΛΗ'.

Τὸ μὲν ἐγρηγορέναι διὰ παντὸς, ἀθα-νάτου φύσεως ἴδιον· ὑπνοῦν δὲ μετρίως τῶν καθ' ἡμᾶς ἐστιν, ὁ'ς ἔοικε, καὶ ἀνθρώ-πινον· τὸ δὲ πέρα καθεύδειν τοῦ πρέπον-τος, τοῖς τεθνηκόσι μᾶλλον, ἤπερ τοῖς ζῶσιν ἁρμόδιον. Τὰς πλείστας, Χρυσόσθενες τῆς σῆς ζωῆς μοίρας ἀφῄρησαι· ἀεὶ γὰρ κα-θεύδεις, καὶ τῆς ἐνθάδε μεταβέβηκας λήξε-ως, οἷά τις, Ὀδυσσεὺς, τῆς καθ' ἡμᾶς οἰ-κουμένης ἔξω πλανώμενος, Ὠκεανῷ τινὶ τῷ ὕπτῳ χρώμενος, καὶ μήτε ἀνίσχοντα, μήτε δυόμενον προσβλέπων τὸν Ἥλιον.

Ακαδημία Αθηνών / Academy of Athens

## Πλάτων Ἀξιόχῳ. ΛΘʹ.

Ἡνίαις, καὶ μάστιγι τοὺς ἵππους ἰθύνομεν, καὶ ναυτιλλόμεθα, πῆ μὲν τοῖς ἱστίοις ...αοῦν ἐκπετάσαντες, πῆ δὲ ταῖς ἀγκύραις χαλινώσαντες κατέχομεν. Οὕτω κυβερνητέον τὴν γλῶτταν, Ἀξίοχε, πῆ μὲν τοῖς λόγοις ἐπλίζοντες, πῆ δὲ σιωπῇ κατευνάζοντες.

## Πλάτων Διονυσίῳ. Μʹ.

Εἰ λύπης ἐθέλῃς κρατεῖν, περιπόλει τοὺς τάφους καὶ τοῦ πάθουσ ἕξεις τὸ φάρμακον, καὶ τὰς μεγίστας τῶν ἀνθρώπων εὐδαιμονίας ἐπόψει περαιτέρω κόνεως κεκτημένας τὸ φίσημα.

## Προκόπιος Νηφαλίῳ. ΜΑʹ.

Ἥσθην δεξάμενος τὴν ὑμετέραν ἐπιστολήν· εἰς ἔργον δὲ ταύτην ἄγειν βουλόμενος, οὐκ ἔχω ὑπουργοῦσαν τῇ προθυμίᾳ τὴν χρείαν· τὸ δ᾽ αἴτιον, τύχην μὲν οὐκ ἄν ποτε εἴποιμι, καὶ μάλιστα πρὸς ὑμᾶς, Θεοῦ δὲ πάντως πρόνοιαν κυβερνῶσαν, ὡς βούλεται, τὰ ἡμέτερα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Φιλίππῳ Ἀδελφῷ. ΜΒʹ.

Τοῖς ἀγαθοῖς τῶν ἀνδρῶν ἀρκεῖ μὲ εἰς σύστασιν φιλίας ὁ τρόπος· ἀλλ' ἐπειδ καὶ ἀφορμὴν εἶναι προσήκει τινὰ, δι' δεῖ πρῶτον εἰς λόγους ἐλθεῖν, εἶτα πειρ θέντας θαυμάζειν, τούτου χάριν ἐπέδωκ τῷ λογίῳ Θέωνι τὴν ἐπισταλήν· πρῶτο γὰρ διὰ ταύτην εὐμενῶς αὐτὸν ὄψει· ὕστε ρον δὲ περιττὰ νομίσας τὰ γράμματα, δ αὐτὸν, οἶμαι, θαυμάσεις τὸν ἄνδρα.

## Ἰωάννῃ. ΜΓʹ.

Ὁ λογιώτατος Διόδωρος λύσις ἡμῖν ἐστι τῆς πρὸς ἀλλήλους σιγῆς, καὶ σὲ γράφει ἀπαιτῶν, καὶ τὰ παρ' ἡμῶν σοὶ διδούς. Φί λος μὲν γὰρ οὗτος ἐμός· ἤδη δὲ πρὶν ἰ δεῖν, καὶ σὸς ἐτύγχανεν ἐραστής. οἱ γὰ ἐξ ἡμῶν λόγοι τὰ περὶ σοῦ διηγούμενοι πρὸ τῆς θέας ἐποίουν τὸν ἔρωτα· ὁ γὰρ ἀνὴ ἐρωτικός ἐστι τῶν καλῶν, καὶ πολυπραγμονε τοὺς χρηστοὺς, ὥσπερ δεδιὼς μὴ ποτέ τι τοιοῦτος ὢν διαλάθῃ. Καὶ τί σοι περὶ τούτο λέγειν με δεῖ; πάντως γὰρ τῇ πείρᾳ τοῦτ μαθὼν, ἐλάττω νομίσεις τὸν ἔπαινον, κα ἀσθενῆ με καλέσεις ἂν ῥήτορα, ὡς οὐδὲ τὰ προσήκοντα λέγειν δυνάμενον.

## Ἱλασίῳ. ΜΔ΄.

Εἰ τὰ τῶν φίλων κοινὰ, παλαιὸς εἶναι βούλεται λόγος, ἐμοὶ δὲ φίλος ὁ λογιώτατος Πέτρος, καὶ σὸς ἂν εἰκότως νομίζοιτο. Εἰ δ' ἐ δικαίως τοῦτον ἀσπάζομαι, δείξει μὲν πολλάκις ἡ πεῖρα, εἰ δὲ θεάσῃ, τέως μαρτυρήσει τὸν τρόπον. Οὗτος ὑμῶν τι δεόμενος, καὶ βουληθεὶς πάντως τυχεῖν, ἐμὲ πρὸς ταύτην ἐκίνησε τὴν ἐπιστολὴν, νομίζων τοσοῦτόν με δύναται παρ' ὑμῖν, ὡς μηδὲν ἂν εἰκότως διαμαρτεῖν. Ἀλλ' εἰ μὲν ἀληθῆ νομίζει, βεβαίωσον ἔτι τὴν γνώμην, εἰ δὲ ψευδῆ, καὶ οὕτως ὑπούργησον, ἵνα μὴ δειχθῶμεν ἐν τοῖς ἄλλοις τὴν πρὸς ἀλλήλους φιλίαν πλαττόμενοι. Ἔχει δὲ καὶ τὸ δίκαιον συμμαχοῦν, ὅπερ σὲ καὶ μηδενὸς αἰτοῦντος καθέστηκε φίλον· τὸ δὲ δυνάμενον ἀδικίαν κωλῦσαι περιϊδεῖν, ἐν ἴσῳ καθέστηκε τῷ ποιεῖν· ὅπερ τῆς σῆς γνώμης ἀλλότριον. Ἴσθι δὲ ὡς πάντως ἐπινεύσῃς, ἢ τοῖς γράμμασι τοῖς ἐμοῖς. ἢ τῇ παρουσίᾳ πειθόμενος. Ἓν μόνον λυπήσεις, ἀμβλυτέραν τῇ ἀναβολῇ τὴν ἀρετὴν ἐνδεικνύμενος.

## Ἡλίᾳ. ΜΕ΄.

Τῆς ὑμετέρας δωρεᾶς, ἡ μὲν πεῖρα τοὺς ἐγνωκότας, ἡ δὲ μνήμη τοὺς ἄλλους εἰς

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

θαῦμα κινεῖ· ἐμὲ δὲ ἀμφότερα πρὸς τὸ ἀ-νάγραπτον ἐσαεὶ τὴν ὑμετέραν ἔχειν ἐυερ-γεσίαν, καὶ θαυμαζόμενος, ἐφ' οἷς τοιούτων ἀγαθῶν γέγονα τῇ πατρίδι ὑπηρέτης, εἰς ὑμᾶς ἀνάγω τῇ μνήμῃ τῶν ἀγαθῶν τὴν αἰτίαν· ὅθεν ἀεὶ παρὰ τὸ προσῆκον παῤῥη-σιάσομαι τὰ μικρὰ προσάγων ὑμῖν. Οὐδὲ γὰρ οἱ τοῖς Θεοῖς λιβανωτὸν ἐπιθύοντες πρὸς ἀξίαν τὴν χάριν, πρὸς δὲ δύναμιν τῷ δοκεῖν ἐυγνώμονες ἐπιδείκνυνται· καὶ ἐπὶ τῶν ὑμῖν προσαγομένων τὰ μέγιστα τοῖς ἐλαχίστοις τὴν αὐτὴν ἔχει δύναμιν πρὸς τὴν ἐυεργεσίαν μετρούμενα.

## Νηφαλίῳ. Μϛ'.

Σὺ μὲν ἐν πλήθει χρημάτων ἀπορίαν θρηνεῖς, ἐγὼ δὲ τὰ χρήματα, καὶ τοὺς πλουτοῦντας περιφρονῶ, καίτοι πενίᾳ θαυ-μαστῇ συνεχόμενος. Οὕτως ἄρα τὸ πένε-σθαι, καὶ πλουτεῖν ἡ γνώμη ποιεῖ, οὐ χρή-ματα παρὰ τῆς τύχης τῇδε κἀκεῖσε πλα-νώμενα. Τοιγαροῦν παῦσαι μικροψύχως ἡμῖν ὀδυρόμενος, μηδὲν μέγα νομίζων, πλὴν εἰ μήτι φέροι πρὸς ἀρετήν· ὅ, τι γὰρ μὴ τοιοῦτον, ἀλλότριόν τε ἐστι, καὶ πρὸς ἀπάτην ἐφέλκεται. Ὅθεν οἱ φρονεῖν εἰδότες, ὥσπερ τινα μέθην, καὶ φλυαρίαν ταῦτα

ἀποσεισάμενοι, τὴν γῆν καταλιπόντες τῇ γῇ, μεταρσίῳ γνώμῃ περιπολοῦσι τὸν Οὐρανὸν, τὰς αἰσθήσεις, καὶ τὴν ὕλην, καὶ τὸ τῆς πλάνης χωρίον, ὥσπερ τινα χαλεπὴν διανηξάμενοι θάλατταν.

## Ἰουλιανὸς Αὐτοκράτωρ Θεοδώρᾳ τῇ αἰδεσιμωτάτῃ. ΜΖ΄.

Τὰ πεμφθέντα παρὰ σοῦ βιβλία πάντα ὑπεδεξάμην, καὶ τὰς ἐπιστολὰς ἄσμενος διὰ τοῦ βελτίστου Μυγδονίου· καὶ μόγις ἄγων σχολὴν, ὡς ἴσασιν οἱ Θεοὶ, οὐ κακιζομένην λόγῳ, ταῦτα ἀντέγραψα πρὸς σέ. Σὺ δὲ εὖ πράττοις, καὶ γράφοις ἀεὶ τοιαῦτα.

## Λιβανίῳ. ΜΗ΄.

Ἀνέγνων χθὲς τὸν λόγον πρὸ ἀρίστου σχεδόν· ἀριστήσας δὲ πρὶν ἀναπαύσασθαι, τὸ λοιπὸν προσαπέδωκα τῆς ἀναγνώσεως. Μακάριος εἶ λέγειν οὕτω, μᾶλλον δὲ φρονεῖν οὕτω δυνάμενος. ὢ λόγος. ὢ φρένες· ὢ συνέσις· ὢ διαίρεσις· ὢ ἐπιχειρήματα· ὢ τάξις· ὢ ἀφορμαί· ὢ λέξις· ὢ ἁρμονία· ὢ συνθήκη.

## Γρηγορίῳ Ἡγεμόνι ΜΘ΄.

Ἐμοὶ καὶ γράμμα παρὰ σοῦ μικρὸν

ἀρκεῖ μεγάλης ἡδονῆς πρόφασιν μνηστεῦσαι. Καὶ τοίνυν οἷς ἔγραψας λίαν ἥσθεὶς, ἀντιδίδωμι καὶ αὐτὸς τὴν ἴσην, οὐ τῷ τῶν ἐπιστολῶν μήκει μᾶλλον, ἢ τῷ τῆς εὐνοίας μεγέθει τὰς τῶν ἑταίρων φιλίας ἐκτείνεσθαι δεῖν κρίνων.

### Λουκιανῷ σοφιστῇ. Ν'.

Γράφω, καὶ ἀντιτυχεῖν ἀξιῶ τῶν ἴσων· εἰ δὲ ἀδικῶ συνεχῶς ἐπιστέλλων, ἀνταδικηθῆναι δέομαι τῶν ὁμοίων παθῶν.

### Ζήνωνι. ΝΑ'.

Πάντων μὲν ἕνεκά μοι τὸ σῶμα διάκειται μετρίως· οὐ μὴν ἀλλὰ καὶ τὰ τῆς γνώμης ἔχει καλῶς· οἶμαι δὲ ἐγὼ ταύτου προοίμιον εἶναι μηδὲν κρεῖττον ἐπιστολῆ φίλῳ παρὰ φίλου πεμπομένη. Τίνος οὖν ἐστι τὸ προοίμιον; αἰτήσεως, οἶμαι. Τίς δὲ ἡ αἴτησις; ἐπιστολῶν ἀμοιβαίων· ἃς εἴηγε καὶ κατὰ διάνοιαν ὁμολογῆσαι ταῖς ἐμαῖς, αἴσια παρὰ σοῦ ταῦτα πρὸς ἡμᾶς ἐξαγγελλούσας.

### Λιβανίῳ. ΝΒ'.

Ἐπειδὴ τῆς ὑποσχέσεως ἐπελάθου (τρίτη

γουν ἐστι σήμερον) καὶ ὁ Φιλόσοφος Πρίσκος
αὐτὸς μὲν οὐχ ἧκε, γράμματα δὲ ἀπέστει-
λεν ὡς ἔτι χρονίσων, ὑπομιμνήσκω σε τὸ
χρέος ἀπαιτῶν· ὄφλημα δέ ἐστιν, ὡς οἶσθα,
σοὶ μὲν ἀποδοῦναι ῥᾴδιον, ἐμοὶ δὲ ἥδιστον
πάνυ κομίσασθαι. Πέμπε δὴ τὸν λόγον,
καὶ τὴν ἱερὰν συμβουλὴν, ἀλλὰ πρὸς Ἑρ-
μοῦ, καὶ Μούσης, ταχέως· ἀλλὰ καὶ τούτων
με τῶν τριῶν ἡμερῶν ἴθι συντρίψας, εἴπερ
ἀληθῆ φησὶν ὁ Σικελιώτης Ποιητής, ἐν
ἤματι φάσκων τοὺς ποθοῦντας γηράσκειν·
εἰ δὲ ταῦτά ἐστιν, ὥσπερ οὖν ἐστι, τὸ γῆρας
ἡμῖν ἐτριπλασίασας, ὦ γενναῖε. Ταῦτα με-
ταξὺ τοῦ πράττειν ὑπηγόρευσά σοι. γράφειν
γὰρ οὐχ οἷός τε ἤμην, ἀργοτέραν ἔχων τῆς
γλώττης τὴν χεῖρα· καί μοι καὶ τὴν γλῶτ-
ταν εἶναι συμβέβηκεν ἀπὸ τῆς ἀνασκησίας
ἀργοτέραν, καὶ ἀδιάρθρωτον. Ἔρρωσό μοι
ἀδελφὲ ποθεινότατε, καὶ προσφιλέστατε.

## Μαξίμῳ Φιλοσόφῳ. ΝΓ'.

Ἀλέξανδρον μὲν τὸν Μακεδόνα τοῖς Ὁ-
μήρου ποιήμασιν ἐφυπνώττειν λόγος, ἵνα
δὴ καὶ νύκτα καὶ μεθ' ἡμέραν αὐτοῦ τοῖς
πολεμικοῖς ὁμιλῇ συνθήμασιν. Ἡμεῖς δὲ
σου ταῖς ἐπιστολαῖς ὥσπερ παιωνίοις τισὶ
φαρμάκοις συγκαθεύδομεν, καὶ οὐ διαλεί-

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

πομεν ἐντυγχάνοντες ἀεὶ, καθάπερ νεαραῖς ἔτι, καὶ πρῶτον εἰς χεῖρας ἡκούσαις. Εἴπερ οὖν ἐθέλεις ἡμῖν εἰκόνα τῆς σῆς παρουσίας τὴν ἐν τοῖς γράμμασιν ὁμιλίαν προξενεῖν, γράφε, καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων, μᾶλλον δὲ ἧκε σὺν θεοῖς, ἐνθυμούμενος, ὡς ἡμῖν γ' ἕως ἂν ἀπῇς, οὐδὲ ἔτι ζῶμεν, εἰπεῖν ἐστιν, ἢ ὅτε μόνον τοῖς παρὰ σοῦ γραφομένοις ἐντυχεῖν ἔξεστι.

Ακαδημία Αθηνών / Academy of Athens

# ΤΩΝ

# ΕΠΤΑ ΣΟΦΩΝ

## Καὶ τῶν σὺν αὐτοῖς καταριθμουμένων Ἀποφθέγματα, Συμβουλαὶ, καὶ Ὑποθῆκαι.

### ΚΛΕΟΒΟΥΛΟΥ ΤΟΥ ΕΥΑΓΟΡΟΥ ΛΙΝΔΙΟΥ.

Ἀρετῆς οἰκεῖόν ἐστι κακίαν μισεῖν.

Φρόνει τι κεδνόν.

Ἀμουσία τὸ πλέον μέρος ἐν βροτοῖς, λόγων τε πλῆθος.

Τῆς ὑπονοίας ἄπεχε.

Φιλήκοος ἴσθι μᾶλλον, ἢ φιλόλαλος· πολυμαθὴς, ἢ ἀμαθής.

Εὐσέβειαν φύλασσε.

Εὐχῆς οὐδέν ἐστι τιμιώτερον.

Πατέρα δεῖ αἰδεῖσθαι.

Τοὺς τεκόντας ὑπομονῇ νίκα.

Τὰ δίκαια κρίνε.

Ἀδικίαν μίσει.

Πόλει τὰ βέλτιστα συμβούλευε.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ὃ σὺ μισεῖς, ἑτέρῳ μὴ ποιήσῃς.
Ἀγάπα τὰ τοῦ πλησίον σου, καὶ τήρει τὰ σαυτοῦ.
Βίᾳ μηδὲν πράττε.
Ἔχθρας διάλυε.
Τὸν ἐλάττω μὴ ἀποσκυβαλίσῃ.
Ἀλλοτρίων μὴ ἐπιθύμει.
Μάλιστα σωφρονεῖ ὁ δῆμος, ὅπου τὸν ψ-γον μᾶλλον οἱ πολιτευόμενοι δεδοίκασιν, ἢ τὸν νόμον.
Δοκεῖ μάλιστ᾽ ἂν ἔνδοξος γενέσθαι καὶ Βασιλεὺς, καὶ Τύραννος, εἰ μηδενὶ π-τεύει τῶν συνόντων.
Ψεῦδος μισείτω πᾶς φρόνιμος, καὶ σοφός.
Ψευδὴς καταβολὴ βίου λυμαίνεται.
Γλῶσσαν εὔφημον κτῶ.
Κακολογίας ἀπέχου.
Μὴ ἐπιγέλα τοῖς σκωπτομένοις· ἀπεχθὴς γὰρ τούτοις.
Εὖ τὸ σῶμα ἄσκει, καὶ τὴν ψυχήν.
Μὴ ῥιψοκίνδυνος ἔσο.
Τὸν τοῦ δήμου ἐχθρὸν πολέμιον νόμιζε.
Τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπ-στασο φέρειν.
Εὐτυχῶν μὲν, μὴ γίνου ποτὲ ὑπερήφανος ἀπορήσας δὲ, μὴ ταπεινοῦ.
Ἡδονῆς κράτει.

Πάντων μέτρον ἄριστον.

Τοὺς ἀγαθοὺς ἀγαθὰ ποίει.

Τὸν φίλον δεῖ εὐεργετεῖν, ὅπως ᾖ μᾶλλον φίλος, τὸν δὲ ἐχθρὸν φίλον ποιεῖν. Φυλάσσεσθαι γὰρ χρὴ τῶν μὲν φίλων τὴν ψόγαν, τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλήν.

Εὐποιΐας, ἧς ἔτυχες, μνημόνευε.

Οὗτος ἄριστος δοκεῖ οἶκος, εἰ πλείονας ἔχει τῶν φοβουμένων αὐτὸν τοὺς φιλοῦντας ὁ δεσπότης.

Ὥσπερ οὐκ ἂν ἐβούλου ἐν νηῒ μακρᾷ, καὶ πολυχρύσῳ πλέων βαπτίζεσθαι, οὕτω μηδὲ ἐν οἰκίᾳ αἱροῦ ὑπερμεγέθει, καὶ πολυτελεῖ καθήμενος χειμάζεσθαι.

Τῆς οἰκίας ἐπιμελοῦ.

Ὅταν τις ἐξίῃ τῆς οἰκίας, ζητείτω πρότερον τί μέλλει πράσσειν· καὶ ὅταν τις εἰσέλθῃ πάλιν, ζητείτω τί ἔπραξε.

Γαμεῖν ἐκ τῶν ὁμοίων· ἂν γὰρ ἐκ τῶν κρειττόνων λάβῃς, δεσπότας κτήσῃ, οὐ συγγενεῖς.

Γυναικὶ μὴ φιλοφρονοῦ, μηδὲ μάχου ἀλλοτρίων παρόντων· τὸ μὲν γὰρ ἄνοιαν, τὸ δὲ μανίαν σημαίνει.

Τὰ φίλτατα τέκνα παίδευε.

Δεῖ συνοικίζειν ἀνδράσι τὰς ἑαυτῶν θυγατέρας, παρθένους μὲν τὴν ἡλικίαν,

Ακαδημία Αθηνών Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τὸ φρονεῖν δὲ γυναῖκας· ὅτι δεῖ πα-
δεύεσθαι καὶ τὰς παρθένους.

Οἰκέτην πάροινον μὴ κόλαζε· δόξεις γὰρ
καὶ αὐτὸς παροινεῖν.

## ΣΟΛΩΝΟΣ ΕΞΗΚΕΣΤΙΔΟΥ ΣΑΛΑΜΙΝΙΟΥ.

Τοσούτῳ διαφέρει ἡ φρόνησις τῶν ἀρετῶν
ὅσῳ ὅρασις τῶν ἄλλων αἰσθήσεων.

Α'ρετὴν ἐπαίνει.

Νόει τὸ δίκαιον.

Θεοὺς τίμα.

Χρῶ τοῖς Θεοῖς.

Γονέας αἰδοῦ.

Ε'άν τις μὴ τρέφῃ τοὺς γονέας, ἄτιμος
ἔστω.

Τῶν γονέων μὴ λέγε δικαιότερα.

Ε'ρωτηθεὶς; διατί κατὰ πατροκτόνου Νόμον
οὐκ ἔθηκε, διὰ τὸ ἀπελπίσαι, ἔφη.

Ο'ρκῳ μὴ χρῶ·

Τὸ ἴσον πόλεμον οὐ ποιεῖ.

Τὰ σπουδαῖα μελέτα.

Αλήθειαν ἀνέχου.

Μὴ ψεύδου, ἀλλ' ἀλήθευε.

Τρόπου καλοκἀγαθίαν ὅρκου πιστοτέραν
ἔχε.

Νοῦν ἡγεμόνα ποιοῦ.

Εἰδὼς σίγα.

Ακαδημία Αθηνών / Academy of Athens

Σφραγίζου τοὺς μὲν λόγους σιγῇ, τὴ δὲ σιγὴν καιρῷ.

Τὰ ἀφανῆ τοῖς φανεροῖς τεκμαίρου· ἃ δ' ἂν ἴδῃς, μὴ λέγε.

Ἐρωτηθεὶς ὑπὸ Περιάνδρου παρὰ πότον, ἐπεὶ σιωπῶν ἐτύγχανε, πότερα διὰ λόγων σπάνιν, ἢ διὰ μωρίαν σιωπᾷ; ἀλλ' οὐδεὶς ἂν, εἶπε, μωρὸς σιωπᾷν ἐν συμποσίῳ δύναιτο.

Φίλους εὐσέβει.

Φίλοις βοήθει.

Φίλους μὴ ταχὺ κτῶ· οὓς δ' ἂν κτήσῃ, μὴ ταχὺ ἀποδοκίμαζε.

Ἡδονὴν φεῦγε· ἅυτη γὰρ λύπην τίκτει.

Ὁ μὲν κόρος ὑπὸ τοῦ πλούτου γεννᾶται· ἡ δὲ ὕβρις ὑπὸ τοῦ κόρου.

Μὴ θρασύνου.

Μηδενὶ φθόνει.

Τὸν τεθνηκότα μή τις κακῶς ἀγορευέτω.

Ἄρχε, πρῶτον μαθὼν ἄρχεσθαι· ἄρχεσθαι γὰρ μαθὼν, ἄρχειν ἐπιστήσῃ.

Μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ βέλτιστα τοῖς πολίταις συμβούλευε.

Κριτὴς μὴ κάθισο· εἰ δὲ μὴ, τῷ ληφθέντι ἐχθρὸς ἔσῃ.

Μήτε ἀρχέτω ὁ σφόδρα νέος, μήτε συμ-

Ακαδημία Αθηνών Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

βουλευέτω, εἰ καὶ ἄριστα δοκοίη γν-
μης ἔχειν.

Ἐρωτηθεὶς, πῶς ἂν μὴ γίγνοιτο ἀδί-
μα ἐν τῇ πόλει; εἰ ὁμοίως, ἔφη, ἀ-
γανακτοῖεν τοῖς ἀδικουμένοις οἱ μὴ ἀ-
δικούμενοι.

Ἐρωτηθεὶς, ἥτις οἰκεῖται κάλλιστα τῶ
πόλεων; ἐκείνη, εἶπεν, ἐν ᾗ τῶν ἀ-
δικουμένων οὐχ' ἧττον οἱ μὴ ἀδικο-
μενοι προβάλλονται, καὶ κολάζουσι το
ἀδικοῦντας.

Ἐρωτηθεὶς ὑπό τινος, πῶς ἄριστα αἱ Π-
λεις οἰκοῦνται; εἶπεν, ἐὰν οἱ μὲν πολῖτα
τοῖς ἄρχουσι πείθωνται, οἱ δὲ ἄρχοντ
τοῖς νόμοις.

Ἐκείνη ἄριστα πόλις οἰκεῖται, ἐν ᾗ του
ἀγαθοὺς ἄνδρας συμβαίνει τιμᾶσθαι
καὶ κάκιστα δὲ, ἐν ᾗ τοὺς κακούς.

Ὀνειδιζόμενός ποτε, ὅτε δίκην ἔχων ἐμι-
σθώσατο ῥήτορα· καὶ γὰρ, ἔφη, ὅταν
δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι.

Καλὸν μέν ἐστι ἡ τυραννὶς χωρίον, οὐκ
ἔχει δ' ἀπόβασιν.

Δοκεῖ μάλιστ' ἂν ἔνδοξος γενέσθαι καὶ
βασιλεὺς, καὶ τύραννος, εἰ Δημοκρατίαν
ἐκ Μοναρχίας κατασκευάσαι τοῖς πο-
λίταις.

Οἱ παρὰ τοῖς τυράννοις δυνάμενοι πα-

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ραπλήσιοί εἰσι ταῖς ψήφοις ταῖς ἐπὶ τῶν λογισμῶν· καὶ γὰρ ἐκείνων ἑκάστην, ποτὲ μὲν πλείω σημαίνειν, ποτὲ δὲ ἧττω· καὶ τούτων τοὺς τυράννους ποτὲ μὲν ἕκαστον μέγαν ἄγειν καὶ λαμπρὸν, ποτὲ δὲ ἄτιμον.

Ἴσθι σεαυτοῦ πρᾷος.

Οὗτος ἄριστος δοκεῖ ὁ οἶκος, ὅπου τὰ κτήματα, μήτε κτωμένοις ἄδικα, μήτε φυλάττουσιν ἄπιστα, μήτε δαπανῶσι μετανοητὰ πρόσεστι.

## ΧΙΛΩΝΟΣ ΔΑΜΑΓΗΤΟΥ ΛΑΚΕΔΑΙΜΟΝΙΟΥ.

Ἐρωτηθεὶς, τί ὁ Θεὸς εἴη ποιῶν; τὰ μὲν ὑψηλὰ ταπεινοῖ, τὰ δὲ ταπεινὰ ὑψοῖ, ἔφη.

Μὴ φθόνει θνητά.

Μὴ ἐπιθύμει ἀδυνάτων.

Γῆρας τίμα.

Πρεσβύτερον σέβου.

Νόμοις πείθου.

Σοφίᾳ χρῶ.

Ἤθη δοκίμαζε.

Ὑφορῶ μηδένα.

Ἐρωτηθεὶς, τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων; ἐλπίσιν, ἔφη, ἀγαθαῖς.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Δύσκολον τὰ ἀπόῤῥητα σιωπῆσαι, καὶ σχολὴν εὖ διαθέσθαι, καὶ ἀδικούμενον δύνασθαι φέρειν.

Πρὸς τὸν ἀδελφὸν δυσφοροῦντα, ὅτι μὴ Ἔφορος ἐγένετο, αὐτοῦ ὄντος· ἐγὼ μὲν γάρ, ἔφη, ἐπίσταμαι ἀδικεῖσθαι, σὺ δὲ οὔ.

Δικαίως κτῶ.

Ἀδικουμένοις διαλλάσσου.

Μίσει διαβολάς.

Αἰσχρὰ φεῦγε.

Φύλαττε σεαυτόν.

Γνῶθι σεαυτόν.

Ἐρωτηθεὶς, τί χαλεπώτατον; τὸ γινώσκειν ἑαυτόν, ἔφη· πολλὰ γὰρ ὑπὸ φιλαυτίας ἕκαστον ἑαυτῷ προστιθέναι.

Ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται, διδοὺς βάσανον φανεράν· ἐν δὲ χρυσῷ ἀνδρῶν ἀγαθῶν τε, κακῶν τε νοῦς ἔδωκεν ἔλεγχον.

Μὴ ἀπείλει μηδενί· γυναικῶδες γάρ.

Μὴ ἀπείλει τοῖς ἐλευθέροις· οὐ γὰρ καλόν.

Ἡ γλῶσσα μὴ προτρεχέτω τοῦ νοῦ.

Γλώττης κράτει, καὶ μάλιστα ἐν συμποσίῳ.

Πίνων μὴ πολλὰ λάλει· ἁμαρτήσεις γάρ.

Ακαδημία Αθηνών / Academy of Athens



Μὴ κακολόγει τοὺς πλησίον· εἰ δὲ μὴ, ἀκούσῃ ἐφ' οἷς λυπηθήσῃ.

Τὸν τετελευτηκότα μὴ κακολόγει, ἀλλὰ μακάριζε.

Τὸν τὰ ἀλλότρια περιεργαζόμενον μίσει.

Λυπουμένου τινὸς ἐπὶ τοῖς αὐτοῦ κακοῖς, εἶπεν· εἰ τὰ πάντων κατανοήσῃς, ἧττον ἐπὶ τοῖς σεαυτοῦ δυσφορήσεις.

Ταχύτερον ἐπὶ τὰς ἀτυχίας τῶν φίλων, ἢ ἐπὶ τὰς εὐτυχίας πορεύου.

Ἐπὶ τὰ δεῖπνα τῶν φίλων βραδέως πορεύου, ἐπὶ δὲ τὰς ἀτυχίας ταχέως.

Δαπανώμενος ἐφ' ἃ μὴ δεῖ, ὀλίγος ἔσῃ ἐφ' ἃ δεῖ.

Ἀτυχοῦντι μὴ ἐπιγέλα· κοινὴ γὰρ ἡ τύχη.

Θυμοῦ κράτει.

Ἐγκράτειαν ἄσκει.

Ζημίαν αἱροῦ μᾶλλον, ἢ κέρδος αἰσχρόν. ἡ μὲν γὰρ ἅπαξ ἐλύπησε, τὸ δὲ διὰ παντός.

Πλοῦτος κακίας μᾶλλον, ἢ καλοκἀγαθίας ἐστὶν ὑπηρέτης.

Τί ἐστι πλοῦτος; θησαυρὸς κακῶν, ἐφόδιον ἀτυχημάτων, χορηγία πονηρίας.

Πλοῦτος ὑπὸ κακῆς ἐργασίας ἐπιγινό-

Ακαδημία Αθηνών / Academy of Athens



μενος, ἐπιφανέστερον ὄνειδος κέκτη-
ται.
Χρόνου φείδου.
Ἐρημίᾳ χρῶ.
Μὴ ἦς ἐπαχθής.
Πλήθει ἄρεσκε.
Ἰσχυρὸς ὢν, πρᾷος ἴσθι, ὅπως οἱ πλησίο[ν]
αἰδῶνται μᾶλλον, ἢ φοβῶνται.
Ἐν ὁδῷ μὴ σπεῦδε προάγειν.
Λέγων μὴ κίνει τὴν χεῖρα, μανικὸν γὰρ.
Κάλλιστον ἐστιν ὁ Βασιλεὺς, ὁ μὴ μόνο[ν]
τοῦ φοβερὸς εἶναι φροντίζων.
Ἡ μάλιστα νόμων, ἥκιστα δὲ ῥησόρω[ν]
ἀκούουσα πολιτεία, ἀρίστη ἐστί.
Δεῖ μάλιστα βασιλευομένῃ πόλει προσεσ[χ]-
κέναι τὸν οἶχον.
Γάμους εὐτελεῖς, καὶ ἰσοτίμους ποίει.
Τῆς ἰδίας οἰκίας καλῶς προστάττει.

## ΠΙΤΤΑΚΟΥ ΥΡΡΑΔΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Χαλεπὸν, ἐσθλὸν εἶναι.
Πιστὸν οὐδέν.
Χαλεπὸν τὸ εὖ γνῶναι.
Μηδὲν ἄγαν.
Πρὸς τὸν φάσκοντα, δεῖν ζητεῖν ἄνθρω-
πον σπουδαῖον· ἂν λίαν, ἔφη ζητῇς
οὐχ' εὑρήσεις.

Ακαδημία Αθηνών / Academy of Athens



Πρὸ πάντων σέβου τὸ Θεῖον.

Εὐσέβειαν ἄσκει.

Γονέας αἰδοῦ.

Κολακεύειν γονεῖς μὴ ὄκνει.

Μὴ ἔριζε γονεῦσι, κἂν δίκαια λέγῃς.

Παρακαλούμενος Υἱῷ καὶ Πατρὶ διαιτῆσαι, εἶπε πρὸς τὸν Υἱόν· εἰ μὲν ἀδικώτερα μέλλεις λέγειν τοῦ Πατρὸς, κατακριθήσῃ, εἰ δὲ δικαιότερα, διὰ τοῦτο ἄξιος εἶ κατακριθῆναι.

Συνετῶν ἀνδρῶν ἐστι, πρὶν γενέσθαι τὰ δυσχερῆ, προνοῆσαι μὴ γένηται, ἀνδρείων δὲ, γενόμενα εὖ θέσθαι.

Πρὸς τὸν πυνθανόμενον, τί ἀφανές; τὸ μέλλον, ἔφη.

Ὃ μέλλεις πράττειν, μὴ πρόλεγε· ἀποτυχὼν γὰρ, γελασθήσῃ.

Ὀλίγων ποτὲ ἀποτυγχανόμενος, τὸ ἥμισυ, ἔφη, τοῦ παντὸς πλεῖόν ἐστι.

Φιλήκοος ἔσο.

Δίδασκε, καὶ μάνθανε τὸ ἄμεινον.

Ἀλήθειαν ἔχε, πίστιν, ἐμπειρίαν, ἐπιδεξιότητα, ἑταιρίαν, ἐπιμέλειαν.

Ἐρωτηθεὶς ποτὲ, τί ἄριστον; τὸ παρὸν εὖ ποιεῖν, ἔφη.

Πιστὸν γῆ, ἄπιστον δὲ θάλασσα.

Μὴ προσδέχου τὸ φαῦλον.

Μὴ πᾶσι πίστευε.

Τὰς νίκας ἄνευ αἵματος δεῖ ποιε-σθαι.

Παρακαταθήκην λαβὼν, δικαίως ἀπ-δος.

Ἐγγύα, πάρα δ' ἄτη. (ἤτοι πάρεστι ζημί

Μὴ σπεῦδε λαλῶν.

Πρὸς τοὺς πυνθανομένους, τί εὐχάριστα χρόνος, ἔφη.

Φίλον μὴ λέγε κακῶς, ἀλλὰ μηδὲ ἐ-θρόν.

Ἀνιαρὸν ἀργία, κακὸν ἀκρασία, βα ἀπαιδευσία.

Ἀργὸς μὴ ἴσθι.

Ἀλκαῖον τὸν φονέα τοῦ Υἱοῦ ὑποχείρι λαβὼν, καὶ ἔχων ἐξουσίαν τοῦ κολ-σαι αὐτὸν, ἀφῆκεν, εἰπὼν, ὅτι συ-γνώμη, τιμωρίας ἄμεινον· τὸ μ γὰρ, θηριώδους, τὸ δὲ, ἡμέρου φύσε ἐστι σημεῖον.

Σωφροσύνην φίλει.

Γυναικὸς ἄρχε.

Ἀνέχου ὑπὸ τῶν πλησίον μικρὰ ἐλαττο-μενος.

Κροίσου διδόντος χρήματα, οὐ δέξομ ἔφη· ἔχω γὰρ, ὧν ἐβουλόμην, πλάσια, ἄπαιδος τ' ἀδελφοῦ τελευτ-σαντος.

Ἀτυχίαν μὴ ὀνείδιζε, νέμεσιν αἰδούμενος· μηδ᾽ ἂν πλουτῇς, τὴν εὐτυχίαν κρύπτε φθόνου χάριν.

Τῷ μεθύοντι ἐὰν ἁμάρτῃ, διπλῆ ἔστω ἡ ζημία, ἵνα μὴ μεθύωσι, πολλοῦ οἴνου γενομένου.

Περὶ μὲν φίλους ἴσθι βέβαιος, περὶ δὲ τοὺς ἐχθροὺς ἀσφαλής.

Φίλων κριτὴς μὴ γίνου.

Ἀρχὴ ἄνδρα δεικνύει.

Ἀνάγκῃ οὐδὲ Θεοὶ μάχονται.

Ἐρωτηθεὶς ὑπὸ Κροίσου, τίς ἀρχὴ μεγίστη; ἡ τοῦ ποικίλου, ἔφη, ξύλου, σημαίνων τὸν νόμον.

Πόλις ἄριστα πράττει, ὅπου τοῖς πονηροῖς οὐκ ἔξεστιν ἄρχειν.

Δοκεῖ μάλιστα ἂν ἔνδοξος γενέσθαι ἄρχων, εἰ τοὺς ὑπηκόους αὐτὸς παρασκευάσειε φοβεῖσθαι μὴ αὐτὸν, ἀλλ᾽ ὑπὲρ αὐτοῦ.

Ὡς ἄριστος οἰκός ἐστιν, ὁ τῶν περισσῶν μηδενὸς δεόμενος, καὶ τῶν ἀναγκαίων μηδενὸς ἐνδεόμενος.



Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## ΘΑΛΟΥ ΤΟΥ ΕΞΑΜΙΟΥ ΜΙΛΗΣΙΟΥ.

Πρεσβύτατον τῶν ὄντων Θεός· ἀγέννητον γάρ.

Ἐρωτηθεὶς, τί ἔστι τὸ Θεῖον; τὸ μή τε ἀρχὴν, φησὶ, μήτε τέλος ἔχων.

Ἐρωτηθεὶς, εἰ λάθοι τὸ Θεῖον ἄνθρωπος πράσσων τι· καὶ πῶς, εἶπεν, ὅς γε διανοούμενος.

Ἐρωτηθεὶς, τί δύσκολον; ἔφη, τὸ ἑαυτὸν γνῶναι· τί δὲ εὔκολον; τὸ ἄλλῳ ὑποτίθεσθαι.

Δεινὸν τὸ συνειδεῖν τὸ μέλλον.

Ἐρωτηθεὶς, πόσου ἀπέχει τὸ ψεῦδος τοῦ ἀληθοῦς, ὅσον, ἔφη, ὀφθαλμοὶ ὤτων.

Οἵους ἂν ἐράνους ἐνέγκης τοῖς γονεῦσι, τοὺς αὐτοὺς ἐν τῷ γήρᾳ παρὰ τῶν τέκνων προσδέχου.

Ἐρωτηθεὶς, τίς εὐδαίμων; ὁ τὸ μὲν σῶμα ὑγιὴς, ἔφη, τὴν δὲ ψυχὴν εὐπαίδευτος.

Σοφώτατον χρόνος· ἀνευρίσκει γὰρ πάντα.

Ἰσχυρότατον ἀνάγκη· κρατεῖ γὰρ πάντων.

Μέγιστον τόπος· ἅπαντα γὰρ χωρεῖ.

Τάχιστον νοῦς· διὰ παντὸς γὰρ τρέχει.

Κάλλιστον Κόσμος· ποίημα γὰρ Θεοῦ.

Φίλει τὴν παιδείαν, οἰκονομίαν, τέχνην, εὐσέβειαν.

Κτῆσαι καλοκἀγαθίαν.
Ἐπιμελοῦ βίου.
Ἐπάγγελλε μηδενί.
Ἐρωτηθεὶς, πῶς ἂν ἄριστα, καὶ δικαιότατα βιώσαιμεν; ἐὰν, ἔφη, ἃ τοῖς πολλοῖς ἐπιτιμῶμεν, αὐτοὶ μὴ δρῶμεν.
Δοκίμαζε φίλους.
Φίλων παρόντων, καὶ ἀπόντων μέμνησο.
Ἐρωτηθεὶς, πῶς ἄντις ἀτυχίαν ῥᾶστα φέροι; εἰ τοὺς ἐχθροὺς χεῖρον πράσσοντας βλέπει.
Δυσπραγοῦντα μὴ ὀνείδιζε· ἐπὶ γὰρ τούτοις νέμεσις Θεῶν κάθηται.
Τριῶν τούτων ἕνεκα χάριν ἔχω τῇ τύχῃ· πρῶτον μὲν, ὅτι ἄνθρωπος ἐγενόμην, καὶ οὐ θηρίον· εἶτα, ὅτι ἀνὴρ, καὶ οὐ γυνή· τρίτον, ὅτι Ἕλλην, καὶ οὐ βάρβαρος.
Οὐδὲν ἔφη τὸν θάνατον διαφέρειν τοῦ ζῆν. Σὺ οὖν, ἔφη τις, διὰ τί οὐκ ἀποθνήσκεις; ὅτι ἔφη, οὐδὲν διαφέρει.
Ἀγάπα τὸν πλησίον.
Κακίας ἀπέχου.
Ὅσα νεμεσεῖς τὸν πλησίον, αὐτὰ μὴ ποίει.
Καιρὸν γνῶθι.
Ὅμοιος σαυτῷ γίνου.
Μὴ τὴν ὄψιν καλλωπίζου, ἀλλ' ἐν τοῖς ἐπιτηδεύμασιν ἴσθι καλός.
Θεραπείαν ζήτει.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Εἰρήνην ἀγάπα.

Πολίτας μὴ θράσυνον.

Τοῖς ἐπιτηδείοις χρῶ.

Ἐρωτηθεὶς, τί κοινότατον; ἐλπὶς, ἀπεκρί-
νατο· καὶ γὰρ, οἷς ἄλλο μηδὲν, οὗτ
πάρεστιν.

Εὐδαιμονίαν ἄρχοντος νόμιζε, εἰ τελευτή-
σει ἐγγηράσας κατὰ φύσιν.

Ἐρωτηθεὶς, τί δύσκολον εἴη τεθεαμένος
γέροντα, ἔφη, Τύραννον.

Τὸν κρατοῦντα τίμα.

Πόλις ἄριστα πράττει, ἡ μήτε πλουσίο
ἔχουσα ἄγαν, μήτε πένητας πολίτας.

Ἄριστον δοκεῖ οἶκος, ἐν ᾧ πλείστην ἄγει
τῷ Δεσπότῃ σχολὴν ἔξεστι.

Τῆς μητρὸς ἀναγκαζούσης αὐτὸν γῆμαι
νὴ Δία, ἔλεγεν, οὐδέπω καιρός· εἶτα, ἐ-
πειδὰν παρήβησεν, ἐγκειμένης, οὐκέτι
καιρὸς, εἶπεν.

Ψίθυρον ἄνδρα ἔκβαλε τῆς οἰκίας.

## ΒΙΑΝΤΟΣ ΤΑΥΤΑΜΟΥ ΠΡΙΗΝΕΩΣ.

Περὶ Θεοῦ πάντοτε λέγε, ὡς ἔστι.

Ὅ, τι ἂν ἀγαθὸν πράττῃς, εἰς Θεὸν ἀνά-
πεμπε.

Τόπων μεταβολαὶ, οὔτε ἀφροσύνην ἀφαι-
ροῦνται.

...ζεε, καὶ τότε πράττε.
...κουε πολλά, λάλει ὀλίγα.
...υμπλέων ποτὲ ἀσεβέσι, χειμαζομένης τῆς νεὼς, κἀκείνων τοὺς Θεοὺς ἐπικαλουμένων, σιγᾶτε, ἔφη, μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας.
...ρωτηθεὶς ὑπὸ ἀσεβοῦς ἀνθρώπου, τί ποτέ ἐστιν εὐσέβεια; ἐσίγα. Τοῦ δὲ τὴν αἰτίαν τῆς σιγῆς πυθομένου, σιωπῶ, ἔφη, ὅτι περὶ τῶν οὐδέν σοι προσηκόντων πυνθάνη.
...ῷ Υἱεῖ πρὸς Αἰγυπτίους ἀπαίροντι, καὶ πυνθανομένῳ, τί ἂν ποιῶν αὐτῷ μάλιστα κεχαρισμένα πράττοι; ἐφόδιον, ἔφη, πρὸς γῆρας κτησάμενος. τὴν ἀρετὴν δηλαδὴ τὸ ἐφόδιον λέγων.
...φόδιον ἀπὸ νεότητος εἰς γῆρας ἀναλάμβανε Σοφίαν· βεβαιότερον γὰρ τοῦτον τῶν ἄλλων κτημάτων.
...όνησιν ἀγάπα.
...ῆσαι ἐν μὲν νεότητι εὐπραξίαν, ἐν δὲ γήρᾳ σοφίαν.
... πλωτικὸς μήτε ἐν τοῖς τεθνηκόσιν ἐστὶ, μήτ' ἐν τοῖς βιοῦσι.
...ώρει ὥσπερ ἐν κατόπτρῳ τὰς σαυτοῦ πράξεις, ἵνα τὰς μὲν καλὰς ἐπικοσμῇς, τὰς δὲ αἰσχρὰς καλύπτῃς.
...ες ἔργῳ μνήμην, καιρῷ εὐλάβειαν, τρό-

Ακαδημία Αθηνών / Academy of Athens



πῳ γενναιότητα, πόνῳ ἐγκράτειαν, φόβ
εὐσέβειαν, πλούτῳ φιλίαν, λόγῳ πειθ
σιγῇ κόσμον, γνώμῃ δικαιοσύνην, τόλμ
ἀνδρίαν, πράξει δυναστείαν, δόξῃ ἡγ
μονείαν.

Ἐρωτηθεὶς, τί ἂν εἴη τῶν κατὰ τὸν βί
ἄφοβον; εἶπεν, ὀρθὴ συνείδησις.

Ἄσκει καλοκἀγαθίαν.

Οἱ πλεῖστοι ἄνθρωποι κακοί.

Φίλει, ὡς μισήσων.

Μὴ εὐήθης ἴσθι, μήτε κακοήθης.

Ἀγαθοὶ εὐαπάτητοι.

Πείσας λάβε, μὴ βιασάμενος.

Βραδέως ἐγχείρει τοῖς πραττομένοις, ἐγχ
ρήσας δὲ, πράττε βεβαίως.

Ἥδιόν ἐστι δικάζειν μεταξὺ ἐχθρῶν, ἢ
λων· τῶν μὲν γὰρ φίλων, πάντως ἐχθρ
ἔσεσθαι τὸν ἕτερον· τῶν δὲ ἐχθρῶν
ἕτερον φίλον.

Ἀνάξιον ἄνδρα μὴ ἐπαίνει.

Νόσος ψυχῆς, τὸ τῶν ἀδυνάτων ἐρᾷν·
λοτρίων δὲ κακῶν ἀμνημόνευτον εἶνα

Τὸ μὲν ἰσχυρὸν γενέσθαι, τῆς φύσεως
γον· τὸ δὲ λέγειν δύνασθαι τὰ συμ
ροντα τῇ πατρίδι, ψυχῆς ἴδιον, καὶ φ
νήσεως· εὐπορίαν δὲ χρημάτων, πολλ
καὶ διὰ τύχην περιγίνεσθαι.

Μὴ ταχὺ λάλει· μανίαν γὰρ ἐμφαίνει.

Ἐρωτηθεὶς, τί γλυκὺ ἀνθρώποις; ἐλπὶς, ἔφη.

Ἐρωτηθεὶς, τί ποιῶν ἄνθρωπος τέρπεται; ἔφη, κερδαίνων.

Θεασάμενος μάχαιραν ἐῤῥιμμένην, ἔφη. τίς σε ἀπώλεσεν, ἢ τίνα σύ;

Ὁ αὐτὸς ἐρωτηθεὶς, ποῖος τῶν θανάτων κακόν; ἔφη, ὁ ἀπὸ τῶν νόμων ἐπαγόμενος.

Ἐρωτηθεὶς, τί δυσχερές; τὴν ἐπὶ τὸ χεῖρον, ἔφη, μεταβολὴν εὐγενῶς ἐνεγκεῖν.

Ἀτυχὴς ἐστιν, ὁ μὴ ἀτυχίαν φέρων.

Πένης ὢν, πλουσίοις μὴ ἐπιτίμα, ἢν μὴ μέγα ὠφελῇς.

Ἀφροσύνην μὴ προσδέχου.

Τὸν βίον οὕτω μέτρει, ὡς καὶ πολὺν, καὶ ὀλίγον χρόνον βιωσόμενος.

Θανάτῳ μέλλων καταδικάζειν, ἐδάκρυσεν. εἰπόντος δέ τινος, τί παθὼν αὐτὸς καταδικάζεις, καὶ κλαίεις, εἶπεν, ὅτι ἀναγκαῖόν ἐστι, τῇ μὲν φύσει τὸ συμπαθὲς ἀποδοῦναι, τῷ δὲ νόμῳ τὴν ψῆφον.

Ἔνδοξος μάλιστα ἂν δοκῇ γενέσθαι Βασιλεὺς, εἰ πρῶτος χρῷτο τοῖς νόμοις τῆς πατρίδος.

Ἄριστος δοκεῖ οἶκος, ἐν ᾧ τοιοῦτός ἐστιν ὁ δεσπότης δι' αὐτὸν, οἷος ἔξω διὰ νόμον.

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## ΠΕΡΙΑΝΔΡΟΥ ΚΥΨΕΛΟΥ ΚΟΡΙΝΘΙΟΥ.

Μελέτα τὸ πᾶν.
Ἐλπίδας νέμε.
Εὐσεβείας ἔχου.
Θνητὰ φρόνει.
Μυστήριον κρύπτε.
Ἀποκρίνου ἐν καιρῷ.
Λόγων ἀποῤῥήτων ἐκφορὰν μὴ ποιοῦ.
Σοφοῖς χρῶ.
Ἀληθείας ἔχου.
Ἄκουε τὰ προσήκοντα.
Υἱοὺς παίδευε.
Σαυτὸν παρασκεύαζε τῶν γονέων ἄξιον.
Πρεσβύτερον αἰσχύνου.
Ἁμαρτὼν μεταβουλεύου.
Ἐρωτηθεὶς, τὶ μέγιστον ἐν ἐλαχίστῳ; εἶπε, φρένες ἀγαθαὶ ἐν σώματι ἀνθρώπου.
Αἱ μὲν ἡδοναὶ θνηταὶ, αἱ δ᾽ ἀρεταὶ ἀθάνατοι.
Ἐρωτηθεὶς, τί ἐστιν ἐλευθερία; εἶπεν, ἀγαθὴ συνείδησις.
Πράττε δίκαια.
Τὸ δίκαιον μιμοῦ.
Πράττε ἀμεταμέλητα.
Καιρὸν πρόσμενε.
Ὕβριν μίσει.

Θνῆσκε ὑπὲρ Πατρίδος.
Μὴ πίστευε χρόνῳ.
Μὴ λάλει πρὸς ἡδονήν.
Φίλοις χρῶ.
Εὔφρανε φίλους.
Φίλοις εὐτυχοῦσι, καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἔσθι.
Εὐεργέτας τίμα.
Χάριν ἀπόδος.
Κακολογίας ἀπέχου.
Μὴ ἐπὶ παντὶ λυποῦ.
Μηδὲν χρημάτων ἕνεκα πράττε· δεῖ γὰρ τὰ κερδαντὰ κερδαίνειν.
Κέρδος αἰσχρὸν, κάκιστον, φύσεως κατηγορία, βαρὺ κειμήλιον.
Ἐπὶ νεκρῷ μὴ γέλα.
Διαβολὴν μίσει.
Ζῶν μὲν, ἐπαινοῦ, ἀποθανὼν δὲ, μακαρίζου.
Φειδόμενον κρεῖττον ἀποθανεῖν, ἢ ζῶντα ἐνδεῖσθαι.
Λύπην φύλαττε.
Σαυτοῦ μὴ ἀμέλει.
Ἔριν μίσει.
Ἀγαθοὺς τίμα.
Ἐπαίνει τὰ καλά.
Μὴ ἐπαίρου ἐπὶ δόξῃ.
Ἔλπιζε ὡς θνητὸς, φείδου ὡς ἀθάνατος.

*4

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Πᾶσιν ἄρεσκε.
Πᾶσιν ἀποστρέφου.
Ὁμόνοιαν δίωκε.
Εὐπροσήγορος γίνου.
Καλὸν ἡσυχία, ἐπισφαλὲς προπέτεια.
Ἱκέτας ἐλέει.
Τοὺς Ἡγεμόνας φοβοῦ.
Ὅ ἂν ὁμολογήσῃς, διατήρει.
Ὀφθαλμῶν κράτει.
Αἰσχύνην φεῦγε.
Εὐτυχῶν μὲν, μέτριος ἴσθι· δυστυχῶν δὲ φρόνιμος.
Ἀτυχίαν κρύπτε, ἵνα μὴ τοὺς ἐχθροὺς εὐφράνῃς.
Τοῖς μὲν νόμοις παλαιοῖς χρῶ, τοῖς δὲ ὄψοις προσφάτοις.
Μὴ μόνον τοὺς ἁμαρτάνοντας κόλαζε, ἀλλὰ καὶ τοὺς μέλλοντας κώλυε.
Συμβούλευε ἀναιτίως.
Εἶκε μεγάλοις.
Ἄρχουσιν εἶκε.
Δημοκρατία κρείττων τυραννίδος.
Πόλις ἄριστα πράττει, ἐν ᾗ τῶν ἄλλων ἴσων νομιζομένων, ἀρετὴ τὸ βέλτιον ὁρίζεται, κακία δὲ τὸ χεῖρον.
Τοὺς μέλλοντας ἀσφαλῶς τυραννήσειν, δεῖ τῇ εὐνοίᾳ δορυφορεῖσθαι, καὶ μὴ τοῖς ὅπλοις.

Ἐρωτηθεὶς, διὰ τί οὐκ ἀποτίθεται τὴν ἀρχήν; εἶπεν, ὅτι τῷ κατ' ἀνάγκην ἄρχοντι· καὶ τὸ ἑκουσίως ἀποστῆναι κίνδυνον φέρει.

### ΑΝΑΧΑΡΣΙΔΟΣ ΓΝΟΥΡΟΥ ΣΚΥΘΟΥ.

Κρεῖττον ἕνα φίλον ἔχειν πολλοῦ ἄξιον, ἢ πολλοὺς μηδενὸς ἀξίους.

Πρὸς τὴν Σόλωνος οἰκίαν ἀφικόμενος, τῶν θεραπόντων τινὶ ἐκέλευσε μηνῦσαι, ὅτι παρείη πρὸς αὐτὸν Ἀνάχαρσις, εἰ βούλοιτο αὐτὸν θεάσασθαι, ξένος τε, εἰ οἷόν τε, γενέσθαι. Καὶ ὁ θεράπων εἰσαγγείλας, ἐκελεύθη ὑπὸ τοῦ Σόλωνος εἰπεῖν αὐτῷ, ὅτι περ ἐν ταῖς ἰδίαις πατρίσι ξένους ποιοῦνται. Ἔνθεν ὁ Ἀνάχαρσις ἐλθὼν, ἔφη· νῦν αὐτὸς ἐν τῇ πατρίδι εἰμὶ, καὶ προσήκει μοι ξένους ποιεῖσθαι. Ὁ δὲ καταπλαγεὶς τὴν ἑτοιμότητα, εἰσέφερεν αὐτὸν, καὶ μέγιστον φίλον ἐποιήσατο.

Ἐρωτηθεὶς, τί ἐστιν ἐν ἀνθρώποις ἀγαθόν τε, καὶ φαῦλον; ἔφη, γλῶσσα.

Γλώσσης, γαστρὸς, αἰδοίων κράτει.

Ὑπὸ μειρακίου παρὰ πότον ὑβρισθεὶς, ἔφη· μειράκιον, ἐὰν νέος ὢν τὸν οἶνον οὐ φέρῃς, γέρων γενόμενος ὕδωρ οἴσεις.

Ακαδημία Αθηνών / Academy of Athens

Κιρναμένου κρατῆρος ἐφεστίου, ὁ μὲν πρῶτος ὑγείας πίνεται, ὁ δὲ δεύτερος ἡδονῆς, ὁ δὲ τρίτος ὕβρεως, ὁ δὲ τελευταῖος, μανίας.

Ἡ ἄμπελος τρεῖς φέρει βότρυς, τὸν μὲν πρῶτον ἡδονῆς, τὸν δὲ δεύτερον μέθης, τὸν δὲ τρίτον ἀηδίας.

Ἐρωτηθεὶς, εἰ εἰσιν ἐν Σκύθαις αὐλοί; εἶπεν, ἀλλ' οὐδὲ ἄμπελοι.

Ἐρωτηθεὶς, πῶς ἄν τις μὴ μεθύσκοιτο· εἰ ὁρῴη, ἔφη, τοὺς μεθύοντας, οἷα ποιοῦσιν.

Ἐρωτηθεὶς, πῶς οὐκ ἂν γένοιτό τις φιλοπότης; εἶπεν, εἰ πρὸ ὀφθαλμῶν ἔχοι τὰς τῶν μεθυόντων ἀσχημοσύνας.

Θαυμάζειν φησὶ, πῶς Ἕλληνες ἀρχόμενοι μὲν, ἐν μικροῖς πίνουσι· πλησθέντες δὲ, ἐν μεγάλοις.

Πυνθανομένου τινὸς, πρὸς τί οἱ Ἕλληνες χρῶνται τῷ ἀργυρίῳ; εἶπε, πρὸς τὸ ἀριθμεῖν·

Ἐρωτηθεὶς, πότερον πλείους εἰσὶν οἱ ζῶντες, ἢ οἱ νεκροί; ἔφη· τοὺς οὖν πλέοντας ποῦ τίθης;

Μαθὼν τέτταρας δακτύλους εἶναι τὸ πάχος τῆς νεὼς, τοσοῦτον, ἔφη, τοῦ θανάτου τοὺς πλέοντας ἀπέχειν.

Ὀνειδιζόμενος ὑπὸ Ἀττικοῦ, ὅτι Σκύθης

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἐστίν, ἔφη· ἀλλ' ἐμοὶ μὲν ὄνειδος, πατρίς, σὺ δὲ τῇ πατρίδι.

Ὀνειδιζόμενος ὅτι Σκύθης ἐστίν, εἶπε· τῷ γένει, ἀλλ' οὐ τῷ τρόπῳ.

Πῶς, ἔλεγεν, ἀπαγορεύοντες τὸ ψεύδεσθαι, ἐν ταῖς καπηλείαις φανερῶς, ψεύδονται.

Ἐρωτηθείς, τίνα τῶν πλοίων ἐστὶν ἀσφαλέστερα; τὰ νενεωλκημένα, ἔφη.

Παραγενόμενος εἰς Σκυθίαν, καὶ νομίζων τὰ νόμιμα παραλύειν τῆς πατρίδος πολὺς ὢν ἐν τῷ ἑλληνίζειν, τοξευθεὶς ἐν κυνηγεσίῳ πρὸς τ' ἀδελφοῦ, ἐτελεύτα εἰπών· διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος ἐσώθην, διὰ δὲ τὸν φθόνον ἐν τῇ οἰκίᾳ ἀπωλόμην.

Τὸ ἔλαιον μανίας φάρμακον· ἀλειφόμενοι γὰρ οἱ ἀθληταὶ ἐπιμαίνονται ἀλλήλους.

Τοῦτο, ἔφη, θαυμασιώτατον ἑωρακέναι παρὰ τοῖς Ἕλλησιν, ὅτι τὸν μὲν καπνὸν ἐν τοῖς ὄρεσι καταλείπουσι, τὰ δὲ ξύλα εἰς τὴν πόλιν κομίζουσι.

Θαυμάζειν ἔλεγε, πῶς οἱ Ἕλληνες νομοθετοῦντες κατὰ τῶν ὑβριζόντων, τοὺς ἀθλητὰς τιμῶσι ἐπὶ τῷ τύπτειν ἀλλήλους.

Ἡ ἀγορὰ ὡρισμένος τόπος ἐστίν, εἰς τὸ ἀλλήλους ἀπατᾶν, καὶ πλεονεκτεῖν.

Εὐδαιμονεῖ ὁ ἄρχων, εἰ μὴ μόνος εἴη φρόνιμος.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Θαυμάζειν, ἔφη, πῶς παρὰ τοῖς Ἕλλησ[ι] ἀγωνίζονται μὲν οἱ τεχνῖται, κρίνου[σι] δὲ οἱ μὴ τεχνῖται.

Οἱ νόμοι τοῖς ἀραχνίοις ὅμοιοί εἰσι· κα[ὶ] γὰρ εἰς ἐκεῖνα, ἐὰν μὲν ἐμπέσῃτι κο[ῦ]φον, καὶ ἀσθενὲς, στέγειν· ἐὰν δὲ με[ῖ]ζον, διακόψαν οἴχεσθαι.

Παίζειν δὲ, ὅπως σπουδάσῃς.

### ΜΥΣΩΝΟΣ ΣΤΡΥΜΩΝΟΣ ΧΗΝΕΩΣ.

Μὴ ἐκ τῶν λόγων τὰ πράγματα, ἀλλ' ἐ[κ] τῶν πραγμάτων τοὺς λόγους ζήτει· [ο]ὐ γὰρ ἕνεκα τῶν λόγων τὰ πράγματα συν[ε]τελοῦνται, ἀλλ' ἕνεκα τῶν πραγμάτων [οἱ] λόγοι.

Εὑρών τις αὐτὸν θέρους ἐχέτλην ἀρότρ[ῳ] προσαρμόττοντα, εἶπεν· ἀλλ' ὦ Μύσω[ν] οὐχ ὥρα νῦν ἀρότρου· καὶ μάλιστα, εἶ[]πεν, ὥστε ἐπισκευάζειν.

### ΦΕΡΕΚΥΔΟΥ ΒΑΔΥΟΣ ΣΥΡΙΟΥ.

Μήτε χρυσὸν τίμα, μήτε ἄργυρον.

# ΠΥΘΑΓΟΡΟΥ

## ΧΡΥΣΑ ΕΠΗ.

Ἀθανάτους μὲν πρῶτα Θεοὺς, νόμῳ ὡς διάκειται,
Τίμα, καὶ σέβου ὅρκον· ἔπειθ᾽ ἥρωας ἀγαυούς.
Τούς τε καταχθονίους σέβε δαίμονας ἔννομα ῥέζων.
Τούς τε γονεῖς τίμα, τοὺς τ᾽ ἄγχιστ᾽ ἐκγεγαῶτας.
Τῶν δ᾽ ἄλλων ἀρετῇ ποιεῦ φίλον ὅς τις ἄριστος.
Πρᾳέσι δ᾽ εἶκε λόγοις ἔργοισί τ᾽ ἐπωφελίμοισι.
Μηδ᾽ ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς.
Ὄφρα δύνῃ, δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
Ταῦτα μὲν οὕτως ἴσθι· κρατεῖν δὲ ἐθίζεο τῶν δε.
Γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, λαγνείης τε,
Καὶ θυμοῦ· πρήξῃς δ᾽ αἰσχρόν ποτε μήτε μετ᾽ ἄλλου.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Μήτ' ἰδίῃ. πάντων δὲ μάλιστ' αἰσχύνεο
σαυτόν.
Εἶτα δικαιοσύνην ἄσκει ἔργῳ τε λόγῳ τε.
Μηδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν
ἔθιζε.
Α'λλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅ-
πασι.
Χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φίλει, ἄλ-
λοτ' ὀλέσθαι.
Ο'σσατε δαιμονέῃσι τύχαις βροτοὶ ἄλγε'
ἔχουσιν,
Ω̃ν ἂν μοῖραν ἔχῃς, πράως φέρε, μηδ' ἀ-
γανάκτει,
Ι'ᾶσθαι δὲ πρέπει καθόσον δύνῃ· ὧδε δὲ
φράζευ.
Ου' πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα
δίδωσι.
Πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε καὶ
ἐσθλοὶ
Προσπίπτουσ', ὧν μητ' ἐκπλήσσεο, μητ' ἄρ'
ἐάσης
Εἴργεσθαι σαυτόν· ψεῦδος δ' ἤνπέρ τι λέ-
γεται,
Πράως ἴσχ', ὃ δέτοι ἐρέω, ἐπὶ παντὶ τε-
λείσθω.
Μηδεὶς μήτε λόγῳ σε παρείσσῃ, μήτε τι ἔργῳ,
Πρῆξαι, μηδ' εἰπεῖν ὅ, τι τοι μὴ βέλτερόν
ἐστι.

Ακαδημία Αθηνών / Academy of Athens

Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται.
Δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός.
Ἀλλὰ τάδ' ἐκτελέειν ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ.
Πρῆσσε δὲ μηδὲν τῶν μὴ πίστασαι, ἀλλὰ διδάσκευ
Ὅσα χρεὼν, καὶ τερπνότατον βίον ὧδε διάξεις.
Οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή·
Ἀλλὰ ποιοῦτε μέτρον, καὶ σίτου, γυμνασίων τε
Ποιεῖσθαι· μέτρον δὲ λέγω τόδ', ὅ μή σ' ἀνιήσῃ.
Εἰθίζου δὲ δίαιταν ἔχειν, καθάρειον, ἄθρυπτον.
Καὶ πεφύλαξό γε ταῦτα ποιεῖν ὁπόσα φθόνον ἴσχει.
Μὴ δαπανᾷν παρὰ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων.
Μηδ' ἀνελεύθερος ἴσθι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.
Πρῆσσε δὲ ταῦθ' ἅσε μὴ βλάθῃ· λόγισαι δὲ πρὸ ἔργου.
Μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens



Πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστ
ἐπελθεῖν.

Πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐ
ἐτελέσθη;

Ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι· κ
μετέπειτα,

Δειλὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο· χρηστ
δὲ, τέρπου.

Ταῦτα πόνει, ταῦτ' ἐκμελέτα, τούτων χρ
ἐρᾷν σε.

Ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θή
σει,

Ναὶ μὰ τὸν ἀμετέρᾳ ψυχᾷ παραδόντα τε
τρακτύν.

Παγὰν ἀεννάου φύσεως· ἀλλ' ἔρχευ ἐπ' ἔρ
γον.

Θεοῖσιν ἐπευξάμενος τελέσαι· τούτων δ
κρατήσας,

Γνώσῃ ἀθανάτων τε Θεῶν θνητῶν τ' ἀν-
θρώπων.

Σύστασιν· ᾗ τε ἕκαστα διέρχεται, ᾗ τε κρα-
τεῖται.

Γνώσῃ δ', ᾗ θέμις ἐστὶ, φύσιν περὶ παν-
τὸς ὁμοίαν.

Ὥς τε σε μήτε ἄελπτ' ἐλπίζειν, μή τ' ἐπι
λήθειν.

Γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔ-
χοντας.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τλήμονες, οἵ τ' ἀγαθῶν πέλας ὄντων, οὐκ ἐπορῶσιν.
Οὔτε κλύουσι· λύσιν δὲ κακῶν παῦροι συνίσασι.
Τοίη μοῖρα βροτῶν; βλάπτει φρένας· οἱ δὲ κυλίνδροις.
Α῎λλοτ' ἐπ' ἄλλα φέρονται, ἀπείρονα πήματ' ἔχοντες.
Λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθεν.
Σύγφυτος· ἣν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν.
Ζεῦ Πάτερ ἢ πολλῶν γε κακῶν λύσειας ἅπαντας,
Η῎ πᾶσιν δείξαις οἵῳ τῷ δαίμονι χρῶνται.
Α᾿λλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
Οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
Ω῟ν εἴσοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω
Ε᾿ξακέσας, ψυχὴν δὲ πόνων ἀπὸ τῶν δε σαώσεις.
Α᾿γλ' εἴργου βρωτῶν, ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
Ε῎ν τε λύσει ψυχῆς κρίνων, καὶ φράζευ ἕκαστα,

Ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.

Ἢν δ' ἀπολείψας σῶμα, ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,

Ἔσσεαι ἀθάνατος Θεὸς, ἄμβροτος, οὐκ ἔτι θνητός.

## ΤΑ ΟΝΟΜΑΤΑ.

### ΤΩΝ ΕΠΤΑ ΣΟΦΩΝ ΤΗΣ ΕΛΛΑΔΟΣ.

Σόλων Σαλαμίνιος.

Θαλῆς Μιλήσιος·

Βίας Πριηνεύς.

Χίλων Λακεδαιμόνιος.

Πιττακὸς Μιτυληναῖος.

Κλεόβουλος Λίνδιος.

Περίανδρος Κορίνθιος.

## ΕΠΙΓΡΑΜΜΑ ΕΙΣ ΤΟΥ ΑΥΤΟΥΣ.

Ἑπτὰ Σοφῶν ἐρέω κατ' ἔπος πόλιν, τοὔνομα, φωνήν.

Μέτρον μὲν Κλεόβουλος ὁ Λίνδιος εἶπεν ἄριστον.

Χίλων δ' ἐν κοίλῃ Λακεδαίμονι, γνῶθι σεαυτόν.

Ὃς δὲ Κόρινθον ἔνναιε, χόλου κρατέειν, Περίανδρος.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Πιττακὸς, οὐδὲν ἄγαν, ὃς ἔην γένος ἐκ Μιτυλήνης.

Τέρμα δ' ὁρᾷν βιότοιο Σόλων ἱεραῖς ἐν Ἀθήναις.

Τοὺς πλέονας κακίους δὲ Βίας ἀπέφηνε Πριηνεύς.

Ἐγγύην φεύγειν δὲ Θαλῆς Μιλήσιος ηὔδα.

Χρὴ παραδείγμασι χρωμένους ὀρέγεσθαι τῆς καλοκαγαθίας, καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν εἴτι χρήσιμον εἰρήκασιν, ἀναγινώσκειν· ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν, οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν· μόλις γὰρ ἂν τις ἐκ ταύτης τῆς ἐπιμελείας, τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

Ἰσοκράτης ἐν τῷ τέλει τοῦ πρὸς Δημόνικον Λόγου.

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΣΟΣΙΑΔΟΥ ΤΩΝ ΕΠΤΑ

## ΣΟΦΩΝ ΥΠΟΘΗΚΑΙ.

Ἕπου Θεῷ.
Θεὸν σέβου.
Νόμῳ πείθου.
Γονεῖς αἰδοῦ.
Ἡττῶ ὑπὲρ δικαίου.
Γνῶθι, μαθών.
Ἀκούσας, νόει.
Σαυτὸν ἴσθι.
Γαμεῖν μέλλων, καιρὸν γνῶθι.
Φρόνει θνητά.
Ἑστίαν τίμα.
Ἄρχε σαυτοῦ.
Φίλοις βοήθει.
Θυμοῦ κράτει.
Φρόνησιν ἄσκει.
Πρόνοιαν τίμα.
Ὅρκῳ μὴ χρῶ.
Φιλίαν ἀγάπα.
Παιδείας ἀντέχου.
Σοφίαν ζήλου.
Καλὸν εὖ λέγε.
Ψέγε μηδένα.
Ἐπαίνει ἀρετήν.
Πράττε δίκαια.
Φίλοις εὐνόει.
Εὐγένειαν ἄσκει.
Κακίας ἀπέχου.
Ἴδια φύλασσε.
Ἀλλοτρίων ἀπέσχου.
Εὔφημος ἴσθι.
Ἄκουε πάντα.
Φίλῳ χαρίζου.
Χρόνου φείδου.
Ὅρα τὸ μέλλον.
Ὕβριν μίσει.
Οἰκέτας αἰδοῦ.
Υἱοὺς παίδευε.
Ἔχων, χαρίζου.
Δόλον φοβοῦ.
Εὐλόγει πάντας.
Φιλόσοφος γίνου.
Ὅσια κρίνε.
Γνούς, πράττε.
Φόνου ἀπέχου.
Εὔχου δυνατά.

Ακαδημία Αθηνών / Academy of Athens

Σοφοῖς χρῶ.
Ἦθος δοκίμαζε.
Λαβὼν, ἀπόδος.
Τέχνῃ χρῶ.
Ὑφορῶ μηδένα.
Ὃ μέλλεις, δός.
Εὐεργεσίας τίμα.
Φθόνει μηδενί.
Φυλακῇ πρόσεχε.
Ἐλπίδα αἴνει.
Διαβολὴν μίσει.
Δικαίως κτῶ.
Ἀγαθοὺς τίμα.
Αἰσχύνην σέβου.
Χάριν ἐκτέλει.
Ἔριν μίσει.
Ὄνειδος ἔχθαιρε.
Κρίνε δίκαια.
Ἀδωροδόκητος δοκίμαζε.
Αἰτιῶ παρόντα.
Βίας μὴ ἔχου.
Λέγε, εἰδώς.
Ὁμίλει πράως.
Πέρας ἐπιτέλει, μὴ ἀποδειλιῶν.
Υἱοῖς μὴ καταθάῤῥει.
Γλώττης ἄρχε.
Σεαυτὸν εὖ ποίει.
Εὐπροσήγορος γίνου.
Ἀποκρίνου ἐν καιρῷ.
Πόνει μετὰ δικαίου.
Πράττε ἀμετανοήτως.
Ἁμαρτάνων, μετανόει.
Ὀφθαλμοῦ κράτει.
Βουλεύου χρήσιμα.
Ἐπιτέλει συντόμως.
Φιλίαν φύλασσε.
Εὐγνώμων γίνου.
Ὁμόνοιαν δίωκε.
Ἄῤῥητον μὴ λέγε.
Τὸ κρατοῦν φοβοῦ.
Τὸ συμφέρον θηρῶ.
Καιρὸν προσδέχου.
Ἔχθρας διάλυε.
Εὐφημίαν φεῦγε.
Ἀπέχθειαν φεῦγε.
Πλούτει δικαίως.
Κακίαν μίσει.
Μανθάνων, μὴ κάμνε.
Κινδύνευε φρονίμως.
Οὓς τρέφεις, ἀγάπα.
Πρεσβύτερον αἰδοῦ.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Πλούτῳ ἀπίστει.
Νεώτερον δίδασκε.
Σεαυτὸν αἰδοῦ.
Προγόνους στεφάνου.
Θνῆσκε ὑπὲρ πατρίδος.
Τῷ βίῳ μὴ μάχου.
Ἐπὶ νεκρῷ μὴ γέλα.
Ἀτυχοῦντι συνάχθου.
Χαρίζου ἀβλαβῶς.
Μὴ ἐπὶ παντὶ λυποῦ.

Ἐπαγγέλλου μηδενί.
Φθιμένους μὴ ἀδίκει.
Εὖ πάσχε, ὡς θνητός.
Τύχῃ μὴ πίστευε.
Κόσμιος ἴσθι.
Ἡβῶν, ἐγκρατής.
Μέσος, δίκαιος.
Πρεσβύτερος, εὔλογος.
Τελεύτα ἄλυπος.

ΤΕΛΟΣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000020680
Ακαδημία Αθηνών / Academy of Athens

**ΤΕΥΧΟΣ Α΄.**

Ακαδημία Αθηνών / Academy of Athens

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΓΕΩΡΓΙΟΥ Δ. ΦΕΞΗ
1902

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens